*σὺν ἀυτοῖς, ἐκ τῆς χλόης τῶν θείων σου*
*μυστηρίων * ὧν ἡ καθαρὰ καρδία*
*καταγώγιον ὑπάρχει * καὶ καθαρὰ*
*τὲ ἐν αὐτῇ ἡ ἔλλαμψις τῶν σῶν ἀπο*
*καλύψεων * ἥτις ἐστὶ παράκλησις*
*καὶ ἀναψυχὴ τῶν κοπιασάντων*

[97] A: *σου.*
[98] A: *ἐκλεκ/τῆς.*

*66 διὰ σέ* ἐν ταῖς θλίψεσι καὶ ταῖς παν*
*67 τοδαπαῖς αἰκίαις* ὧν καὶ ἀξιωθεί**
*68 ην ὁ ἁμαρτωλός* χάριτι καὶ φιλανθρωπίᾳ*
*69 σοῦ τοῦ Σωτῆρος ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ* νῦν καὶ ἀεὶ*
*70 καὶ εἰς τοὺς σύμπαντας αἰῶνας*
*71 τῶν αἰώνων, ἀμήν.*

## {ΚΑΘΙΣΜΑ 4}

{41v-51r}
*Ἀρχὴ τοῦ τετάρτου καθίσματος. γ´ Ἅγιος. Παναγία Τριάς.*
*Πάτερ ἡμῶν. Κύριε, ἐλέησον, ιβ´. Δεῦτε προσκυνήσωμεν τρίς.*
*Καὶ ἄρξου.*
{Ps 24} *κδ´ Πρὸς σέ, Κύριε...*
{Ps 25} *κε´ Κρῖνόν με...*
{Ps 26} *κϛ´ Κύριος φωτισμός μου...*
{Ps 27} *κζ´ Πρὸς σέ, Κύριε...*
{Ps 28} *κη´ Ἐνέγκατε τῷ Κυρίῳ...*
{Ps 29} *κθ´ Ὑψώσω σε, Κύριε...*
{Ps 30} *λ´ Ἐπὶ σοί, Κύριε...*
{Ps 31} *λα´ Μακάριοι, ὧν...*
*Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Τροπάρια.*
*Ἐξερευῶν μου...*
*Ἁμαρτίαις διστραφείς...*
*Ὁ τὴν ἑκούσιον...*
*Τὸ Κύριε, ἐλέησον, ιε´. Μετανοίας, ιε´. Καὶ τὰς εὐχάς.*

*1* {51r} ***Κ****ύριε Σωτήρ μου* ἵνα*[99] *τί με ἐγκατέλιπες**
*2 οἰκτείρησόν με, ὅτι σὺ εἶ μόνος*
*3 φιλάνθρωπος* καὶ σῶσόν με τὸν ἁμαρ*
*4 τωλόν, ὅτι σὺ εἶ μόνος ἀναμάρ*
*5 τητος* χαρακτὴρ καὶ ἀπαύγασμα*
*6 τοῦ εὐλογημένου Πατρός, ἔκσπασόν με*

[99] A: *ἱνα.*

*τοῦ βορβόρου τῶν ἀνομιῶν μου,*
*ἵνα μὴ ἐμπαγῶ εἰς αἰῶνα αἰῶνος **
*λυτρωτὰ καὶ ὑπερασπιστὰ τῶν*
*πεποιθότων ἐπὶ σέ, ῥῦσαί με*
*ἐκ στόματος ἐχθροῦ μου * ἰδοὺ γὰρ ὡς*
*λέων ὠρυώμενος, τοῦ καταπι*
[**51v**] *εῖν με ἐπέρχεται * ἄσταψον*
*οὖν τὴν ἀστραπήν σου καὶ διασκό*
*ρπισον αὐτοῦ τὴν κορυφουμένην*
*κατὰ τοῦ δούλου σου δύναμιν * σκορ*
*πισθήτω καὶ πτοηθήτω ἀπὸ προ*
*σώπου σου * ἀσθενὴς γὰρ αὐτοῦ ἡ ἰσχύς,*
*μὴ φέρουσα στῆναι ἐνώπιόν σου, ἢ*
*πρὸ προσώπου τῶν ἀγαπώντων σε **
*ὁρᾷ γὰρ τὸ σημεῖον τῆς χάριτός σου*
*καὶ πτοεῖται * καῖ κατησχυμένος*
*ἀναχωρεῖ ἀπ' αὐτῶν * ἱκετεύω*
*γοῦν σε Σωτὴρ τοῦ κόσμου Χριστέ, ἐπίβλε*
*ψον ἐπ' ἐμὲ καὶ ῥῦσαί με ἐκ τῶν*
*αὐτοῦ σκανδάλων καὶ μηχανῶν **
*συγχώρησόν μοι τὸ πλῆθος τῶν*
*ἀνομιῶν μου * εἰ γὰρ καὶ ἠθέτησα*
*πάντα τὰ ἀγαθὰ ὅσα ἐποίησας*
*καὶ ποιεῖς μετ' ἐμοῦ Κύριε μου Κύριε καὶ*
*ἔτι νῦν ἀθετῶ, ἀλλὰ προσπίπτω*
[**52r**] *δεόμενός σου * Κύριε σῶσόν με ὅτι*
*πρὸς σὲ κατέφυγον.*

*/Εὐχὴ ἑτέρα/.*

**Δ***έσποτα Παντοκράτορ * ὁ Πατὴρ*
*τοῦ Χριστοῦ σου * τοῦ μονογενοῦς σου Υἱοῦ καὶ*
*Θεοῦ μου, δός μοι σῶμα ἄσπιλον **
*καρδίαν καθαράν * νοῦν γρήγορον **
*γνῶσιν ἀπλανῆ * Πνεύματος Ἁγίου ἐπιφοί*

*7 τησιν, πρὸς κτῆσιν καὶ πληροφορί*
*8 αν τῆς ἀληθείας, διὰ τοῦ Χριστοῦ σου **
*9 ναὶ Δέσποτα * ἀκατάληπτε * ἡ ἀρχί*
*10 φωτος καὶ ἀπερινόητος δύναμις **
*11 ὁ τῆς τοῦ μονογενοῦς καὶ ἐνυποστά*
*12 του σοφίας Πατήρ * ὁ τοῦ ζωοποιοῦ*
*13 καὶ ὁμοδυνάμου σου Πνεύματος προβολεύς **
*14 ὁ διὰ σπλάγχνα ἐλέους * καὶ ἄφατον*
*15 ἀγαθότητα * μὴ παριδὼν τὴν τῶν*
*16 ἀνθρώπων φύσιν * τῷ σκότῳ τῆς ἁμαρ*
*17 τίας συνεχομένην * ἀλλὰ τὰ θεῖα*
*18 φῶτα τῶν ἱερῶν σου διδαγμάτων*
*19* [**52v**] *διὰ νόμου καὶ προφητῶν λάμψας*
*20 ἡμῖν * ὕστερον δέ, αὐτὸν τὸν ἀληθινὸν*
*21 καὶ ἄδυτον τῆς δικαιοσύνης ἥλιον,*
*22 τὸν μονογενῆ σου Υἱὸν εὐδοκήσας δι*
*23 ὰ σαρκὸς ἀνατεῖλαι, καὶ πρὸς τὴν*
*24 ἔλλαμψιν τοῦ σοῦ φωτισμοῦ ὁδηγῆ*
*25 σαι ἡμᾶς, γενηθήτω τὰ ὦτα σου προ*
*26 σέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς*
*27 μου * καὶ δώρησαί μοι ἐν ἀγρύπνῳ*
*28 καὶ νηφούσῃ ψυχῇ, πᾶσαν τὴν τοῦ πα*
*29 ρόντος βίου νύκα διελθεῖν * ἐκδεχό*
*30 μενος τὴν τοῦ Χριστοῦ σου καὶ Θεοῦ μου * τοῦ*
*31 κριτοῦ τῶν ἁπάντων παρουσίαν **
*32 ἵνα μὴ ἀναπεπτωκὼς καὶ ὑπνῶν,*
*33 ἀλλ’ ἐγρηγορῶν καὶ διεγηγερμένος **
*34 ἐν τῇ ἐργασίᾳ τῶν ἐντολῶν αὐτοῦ*
*35 εὑρεθῶ * καὶ εἰς τὴν χαρὰν αὐτοῦ τοῦ Κυρίου*
*36 μου εἰσέλθω * ἔνθα ἀπέδρα πᾶσα*
*37 ὀδύνη λύπη καὶ στεναγμός * ἔνθα*
*38* [**53r**] *εὐφραινομένων πάντων ἡ κατοικία **
*39 καὶ τούτων τυχών, δοξάζω τὸ πα*
*40 νάγιον*[100] *ὄνομά σου * τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ*
*41 καὶ τοῦ Ἁγίου Πνεύματος * νῦν καὶ ἀεὶ καὶ εἰς.*

---

[100] A: *παν/άγιον.*

## {ΚΑΘΙΣΜΑ 5}

{53r-62v}
*Ἀρχὴ τοῦ ε΄ καθίσματος. Τρισάγιον. Παναγία Τριάς.*
*Πάτερ ἡμῶν. Κύριε, ἐλέησον, ιβ΄. Δεῦτε προσκυνήσωμεν γ΄. Καὶ ἄρξου./*
{Ps 32} *λβ΄ Ἀγαλλιᾶσθε, δίκαιοι...*
{Ps 33} *λγ΄ Εὐλογήσω τὸν Κύριον...*
{Ps 34} *λδ΄ Δίκασον, Κύριε...*
{Ps 35} *λε΄ Φησὶν ὁ παράνομος...*
{Ps 36} *λϛ΄ Μὴ παραζήλου...*
*Δόξα. Καὶ νῦν. Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν.*
*Καὶ τὰ τροπάρια ταῦτα· Ἦχος πλ. α΄.*
*Κύριε, καὶ τόν...*
*Οἴμοι τί ὡμοιώθην...*
*Δόξα.*
*Θρήνησον ψυχή μου...*
*Καὶ νῦν. Θεοτοκίον.*
*Ἁγιωτέρα τῶν...*
*Κύριε, ἐλέησον, ιε΄. Μετανοίας, ιε΄. Καὶ αἱ εὐχαί.*

{62v} *Εὐχή.*
***Κ****ύριε ὑπὲρ πάντων καὶ διὰ πάντων*[101]
*καὶ ἐν πᾶσιν, ὑμνῶ * εὐλογῶ * προ*
*σκυνῶ*[102] ** δοξολογῶ, καὶ εὐχαριστῶ σου*
*τῇ ἀγαθότητι * ὅτι ἐρρύσω τὴν ψυ*
*χήν μου ἐκ θανάτου * τοὺς ὀφθαλμούς*
*μου ἀπὸ δακρύων * καὶ τοὺς πόδας*
*μου ἀπὸ ὀλισθήματος * ἥμαρτον*
*εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου **
*ἐλεήσόν με Κύριε * καὶ μὴ συναπολέσῃς*

[101] A: *διαπάντων.*
[102] A: *προσ/κυνῶ.*

*με ταῖς ἀνομίαις μου * ἀλλὰ δοκί*
*μασόν με ὁ Θεός * καὶ γνῶθι τὴν καρδί*
*αν μου * ἔτασόν με καὶ γνῶθι τὰς τρί*
*βους μου* καὶ ἴδε εἰ ὁδὸς ἀνομίας*
*ἐν ἐμοί, καὶ ἀπόστρεψόν με ἀπ' αὐτῆς,*
*καὶ ὁδήγησόν με ἐν ὁδῷ αἰωνίᾳ **
*ὁ Θεὸς ὁ εἰπὼν ἐγὼ εἰμὶ ἡ ὁδὸς καὶ ἡ ἀ*
*λήθεια καὶ ἡ ζωή * ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας.*

[**63r**] */Εὐχὴ ἑτέρα/.*
***Κ**ύριε ὁ Θεὸς ἡμῶν * ὁ Πατὴρ τοῦ ἀληθινοῦ*
*φωτός * ὁ τὴν ἡμέραν κοσμήσας*
*τῷ οὐρανίῳ φωτί * καὶ τὴν νύκτα*
*φαιδρύνας ταῖς αὐγαῖς τοῦ πυρός **
*ὁ τοῦ μέλλοντος αἰῶνος τὴν ἀνά*
*παυσιν εὐτρεπίσας τοῖς ἀγαπῶσί σε*
*τὸ νοερὸν καὶ ἄπαυστον φῶς, φώ*
*τισόν μου τὴν καρδίαν ἐν ἐπιγνώ*
*σει τῆς ἀληθείας * καὶ ἀπρόσκοπον*
*τὴν ζωήν μου διατήρησον * παρεχό*
*μενός μοι ὡς ἐν ἡμέρᾳ εὐσχημόνως*
*περιπατεῖν * καὶ δοξολογεῖν ἐν ἔρ*
*γῳ καὶ λόγῳ τὸ πανάγιον ὄνομά σου*
*τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος.*

*/Εὐχὴ ἑτέρα/.*
***Ὑ**περούσιε καὶ πολυέλεε Χριστὲ ὁ Θεὸς*
*ἡμῶν * ὁ κατὰ τὴν παροῦσαν ὥραν*
*ἐν τῷ προσκυνητῷ σταυρῷ σου*
*τὰς ἀχράντους σου χεῖρας ἐκτείνας*
*καὶ τὸ τῶν ἡμετέρων ἁμαρτιῶν*
[**63v**] *ἐν αὐτῷ προσηλώσας καὶ ἐξαλεί*

*8 ψας χειρόγραφον, ἄφες καμοῦ*[103]
*9 τοῦ ἁμαρτωλοῦ τὰ ὀφειλήματα **
*10 καὶ πάσης τῆς ἐξ ἔργων*[104] *καὶ λόγων*
*11 καὶ ἐνθυμήσεων πονηρῶν κατακρί*
*12 σεως, ἐλευθέρωσον * ἵνα ἐν κα*
*13 θαρᾷ καρδίᾳ, τὴν ὀφειλομένην*
*14 σοι δοξολογίαν, ἐν παντὶ καιρῷ*
*15 προσφέρω * ναὶ Κύριε ὁ Θεός μου * ὁ δι*
*16 ὰ τοῦ κορυφαίου τῶν ἀποστόλων σου*
*17 Πέτρου * ὑποδείξας ἡμῖν προσεύ*
*18 χεσθαι καὶ κατὰ τὸν τῆς ἕκτης*
*19 ὥρας καιρόν, ἐπίβλεψον ἐπ' ἐμὲ*
*20 τὸν ἀνάξιον δοῦλον σου * καὶ ῥῦσαί με*
*21 ἀπὸ παντὸς συμπτώματος καὶ δαι*
*22 μονίου μεσημβρινοῦ * διατηρῶν με*
*23 ἐν ἔργοις καὶ λόγοις ἐπὶ τὸ σὸν ἅγιον*
*24 θέλημα * ἐντεύξεσι τῶν ἀσωμάτων*
*25 καὶ θείων σου λειτουργῶν τῶν ἀ*
*26* [**64r**] *παύστως σε ἀνυμνούντων, καὶ πάντων*
*27 τῶν ἁγίων ἀμήν.*

[103] A: *κα' μοῦ.*
[104] A: *ἐξέργων.*

## {ΚΑΘΙΣΜΑ 6}

{64r-76r}
*Ἀρχὴ τοῦ ς´ καθίσματος.*
*Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Κύριε, ἐλέησον, ιβ´.*
*Δεῦτε προσκυνήσωμεν τρίς. Καὶ ἄρξου.*

{Ps 37} *λζ´ Κύριε, μὴ τῷ...*
{Ps 38} *λη´ Εἶπα· φυλάξω...*
{Ps 39} *λθ´ Ὑπομένων ὑπέμεινα...*
{Ps 40} *μ´ Μακάριος ὁ συνιών...*
{Ps 41} *μα´ Ὃν τρόπον...*
{Ps 42} *μβ´ Κρῖνόν μοι...*
{Ps 43} *μγ´ Ὁ Θεός, ἐν...*
{Ps 44} *Ἐξηρεύξατο ἡ καρδία μου...*
{Ps 54} *με´ Ὁ Θεὸς ἡμῶν...*

*Δόξα. Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Τροπάρια·*
*Ἦχος πλ. β´.*
*Ἀνεπιβούλευτόν με...*
*Ἁμαρτιῶν...*
*Δόξα.*
*Ὦ, ψυχή μου...*
*Καὶ νῦν. Θεοτοκίον.*
*Πρὸ τῶν...*
*Τὸ Κύριε, ἐλέησον, ιε´. Μετανοίας, ιε´. Καὶ τὰς εὐχάς.*

*1* {76r} ***Ε****ὐχαριστῶ σοι Κύριε ὁ Θεός μου * ὑπὲρ*
*2 πασῶν τῶν εὐεργεσιῶν σου **
*3 τῶν ἐκ πρώτης ἡμέρας μέχρι*
*4 τῆς παρούσης, εἰς ἐμὲ τὸν ἀνά*
*5* [**76v**] *ξιον ἐποίησας * ὑπὲρ ὧν * καὶ*
*6 δι' ὧν * τῶν φανερῶν * τῶν ἀφανῶν **
*7 τῶν ἐν ἔργῳ καὶ λόγῳ γενομένων*
*8 μοι * τῶν ἑκουσίως * τῶν ἀκουσίως **

*9 τῶν ἐν γνώσει καὶ ἀγνοίᾳ * καὶ πα*
*10 ρακαλῶ σε, φύλαξον τὴν ψυχήν*
*11 μου ἁγίαν, καθαρὰν συνείδησην*
*12 ἔχουσαν * τέλος, ἄξιον τῆς φιλ-*
*13 ανθρωπίας σου ἀνάδειξον * ὁ ἀγαπήσας*
*14 ἡμᾶς * καὶ δοὺς τὸν μονογενῆ σου Υἱὸν*
*15 ὑπὲρ ἡμῶν, καταξίωσόν με γενέ*
*16 σθαι ἄξιον τῆς σῆς ἀγάπης * δός μοι*
*17 σοφίαν ἐν τῷ λόγῳ σου * καὶ ἐν τῷ*
*18 φόβῳ σου ἔμπνευσόν μοι ἰσχὺν*
*19 τῆς παρὰ σου δυνάμεως * ὁ τὸν μο*
*20 νογενῆ σου Υἱὸν * καὶ τὸ Πνεῦμα σου τὸ*
*21 ἅγιον, ἐξαποστείλας εἰς ἄφεσιν*
*22 τῶν ἡμετέρων ἁμαρτιῶν,*
*23 εἴτε ἑκών, εἴτε ἄκων ἥμαρτον,*
*24* [**77r**] *συγχώρησόν μοι Κύριε ὁ Θεός μου **
*25 καὶ μνήσθητι Κύριε πάντων τῶν ἐπι*
*26 καλουμένων ἐν ἀληθείᾳ τὸ ὄ*
*27 νομά σου τὸ ἅγιον * καὶ πάντων*
*28 τῶν εὖ * καὶ τὰ ἐναντία ἡμῖν*
*29 θελόντων * πάντες γὰρ ἄνθρωποι ἐσμέν **
*30 καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν*
*31 τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγί*
*32 ῳ Πνεύματι * νῦν καὶ ἀεὶ καὶ εἰς.*

*1 /Εὐχὴ ἑτέρα/.*

2 ***Κ****ύριε ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ*
*3 ἐνώπιόν σου * δέξαι με ὡς ἕνα*
*4 τῶν μισθίων σου * καὶ εἰσάγαγέ με*
*5 εἰς τὴν μάνδρα σου τὸ ἀπολωλὸς*
*6 πρόβατον * ἵνα μὴ ἔξω εὑρών με*
*7 ἐχθρὸς ὁ λυμεών, καταφάγεταί με **
*8 ὅταν γὰρ τὴν ὑπόστασίν μου λογί*

*9 σομαι Κύριε, καὶ ἐνθυμηθῶ τὰ πα*
*10 ραπτώματά μου, καὶ ἐν ἐπι*
*11 γνώσει τῶν πλημμελημάτων μου*
*12* [**77v**] *καὶ τῶν ἁμαρτιῶν μου γένομαι,*
*13 κατὰ νοῦν τὲ λάβω τὴν φοβερὰν*
*14 ἡμέραν τῆς κρίσεως, μίαν μό*
*15 νην καταφυγὴν ἔχω τὴν σὴν φι*
*16 λανθρωπίαν * διὸ δέομαί σου * καὶ νῦν*
*17 καὶ τότε, παράσχου μοι τῆς σῆς*
*18 εὐσπλαγχνίας τὸ μέγα ἔλεος **
*19 οἶδα γάρ σε τὸν ἐλεήμονα * οἶδα σε*
*20 τὸν καλὸν ποιμένα * καὶ λιμένα*
*21 τῶν χειμαζομένων * καὶ ἐλπί*
*22 δα τῶν ἀπηλπισμένων * καὶ ἰ*
*23 ατρὸν τῶν ἀπεγνωσμένων * ἐπί*
*24 δησον Δέσποτα τὰ τραύματά μου*
*25 ἐλαίῳ καὶ οἴνῳ, ἃ ἐτρώθην ὑπὸ*
*26 τῶν ληστῶν * αὐτὸς γὰρ εἶπας Κύριε **
*27 οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες*
*28 ἰατροῦ, ἀλλ᾽ οἱ κακῶς ἔχοντες **
*29 καὶ τὲ ὑμνῶ καὶ εὐλογῶ * νῦν καὶ*
*30 ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

*1* [**78r**] */Εὐχὴ ἑτέρα/.*
*2* ***Ε****ὐλογητὸς εἶ Κύριε * ὁ μόνος ἀνα*
*3 καινίζων τὴν ποίησιν τῶν ἔρ*
*4 γων σου καθ᾽ ἑκάσην ἡμέραν **
*5 εὐλογητὸς εἶ Κύριε * ὁ κτίσας φῶς καὶ*
*6 σκότος * καὶ διακρίνας αὐτὰ ἀπ᾽ ἀλ*
*7 λήλων*[105] ** εὐλογητὸς εἶ Κύριε * ὁ ποι*
*8 ῶν πάντα καὶ μετασκευάζων **

[105] A: *ἀ/λλήλων.*

*9 ἐκτρέπων σκιὰν θανάτου, καὶ*
*10 ἡμέραν εἰς νύκτα συσκοτάζων **
*11 εὐλογητὸς εἶ Κύριε * ὁ πλάσας κατα*
*12 μόνας τὰς καρδίας ἡμῶν * ὁ συ*
*13 νιεὶς εἰς πάντας τοὺς λογισμοὺς*
*14 ἡμῶν * εὐλογητὸς εἶ Κύριε * ὁ ποιή*
*15 σας ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοί*
*16 ωσιν * ὁ ποιήσας ἡμέραν εἰς ἔργα*
*17 φωτός * καὶ νύκτα εἰς ἀνάπαυ*
*18 σιν τῆς ἀνθρωπίνης φύσεως * ὅθεν καγὼ*[106]
*19 ὁ ἀνάξιος δοῦλος σου * καταξι*
*20 ωθεὶς διανῦσαι*[107] *τὸ μῆκος τῆς ἡμέρας*
*21* [**78v**] *καὶ εἰσελθεῖν εἰς τὴν ὥραν ταύ*
*22 την τῆς προσευχῆς, ὑμνῶ σου τὸ*
*23 πανάγιον ὄνομα τοῦ Πατρὸς καὶ*
*24 τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος * νῦν.*

## {ΚΑΘΙΣΜΑ 7}

{78v-89r}
*Ἀρχὴ τοῦ ζ´ καθίσματος. Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν, Κύριε, ἐλέησον, ιβ´. Δεῦτε προσκυνήσωμεν γ´. Καὶ ἄρξου./*

{Ps 46} *μς´ Πάντα τὰ ἔθνη...*
{Ps 47} *μζ´ Μέγας Κύριος...*
{Ps 48} *μη´ Ἀκούσατε ταῦτα...*
{Ps 49} *μθ´ Θεὸς θεῶν...*
{Ps 50} *ν´ Ἐλέησόν με...*
{Ps 51} *να´ Τί ἐγκαυχᾷ...*
{Ps 52} *νβ´ Εἶπεν ἄφρων...*
{Ps 53} *νγ´ Ὁ Θεός, ἐν...*
{Ps 54} *νδ´ Ἐνώτισαι, ὁ Θεός...*

[106] A: *κα' γώ.*
[107] A: *διανύσαι.*

*Δόξα.*
*Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Τροπάρια· Ἦχος αʹ.*
*Ἐξέτεινας Χριστέ...*
*Τῶν φρονίμων...*
*Δόξα.*
*Ἄχραντε νυμφίε...*
*Καὶ νῦν. Θεοτοκίον.*
*Βεβαία σκέπη...*
*Κύριε, ἐλέησον, ιεʹ. Μετανοίας, ιεʹ. Καὶ τὰς εὐχάς.*

*1* {89r} ***Κ****ύριε ὁ Θεός μου * ἱλάσθητί μοι τῷ*
*2 ἁμαρτωλῷ καὶ ἀναξίῳ δούλῳ σου **
*3 ἥμαρτον Κύριε ἥμαρτον * ἠνόμησα **
*4 ἠδίκησα * ἠσέβησα * καὶ οὐκ εἰμὶ*
*5 ἄξιος ἆραι τὸ ὄμμα καὶ βλέψαι*
*6 εἰς οὐρανὸν διότι κατέλιπον τὴν*
*7 ὁδὸν τῆς δικαιοσύνης σου, καὶ ἐπο*
*8 ρεύθην ἐν τῷ θελήματι τῆς πονη*
*9 ρᾶς μου καρδίας * φεῖσαί μου οὖν Κύριε*
*10 διὰ τὸ πλῆθος τοῦ ἐλέους σου * καὶ*
*11 σῶσόν με διὰ τὸ ὄνομά σου τὸ ἅγιον **
*12* [**89v**] *ὅτι καταναλώθησαν αἱ ἡμέραι μου **
*13 καὶ τὰ ἔτη μου μετὰ σπουδῆς * ἀλλὰ*
*14 σὺ Κύριε * ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεός,*
*15 πολλὰ ἐλέη ἐποίησας μετ᾽ ἐμοῦ*
*16 ὧν οὐκ ἤμην * ἄξιος ἃ οὐ προ*
*17 σεδόκων ἰδεῖν * καὶ τί ἀνταπο*
*18 δώσω τῇ σῇ ἀγαθότητι Κύριέ μου Κύριε **
*19 εὐχαριστῶ σου τῷ πολυυμνήτῳ*
*20 ὀνόματι * εὐχαριστῶ τῇ ἀνεκδι*
*21 ηγήτῳ σου δυνάμει * εὐχαριστῶ τῇ*
*22 ἀνεικάστῳ σου μακροθυμίᾳ **
*23 καὶ ἀπὸ τοῦ νοῦ με ἐλέησον καὶ βο*

*ἤθησον * καὶ ἀντιλαβοῦ μου * καὶ*
*σκέπασόν με Δέσποτα τῶν ἁπάν*
*των * Κύριε οὐρανοῦ καὶ γῆς, καὶ πάσης*
*κτίσεως ποιητά * σὺ γινώσκεις*
*τὴν ἀφροσύνην μου * σὺ γὰρ ἐπίστασαι*
*τὰ ἐν νυκτί * τὰ ἐν ἡμέρᾳ * τὰ ἑκούσια **
*τὰ ἀκούσια * τὰ ἐν γνώσει * τὰ ἐν ἀγνοίᾳ **
[**90r**] *ὡς οὖν ἀγαθὸς καὶ φιλάνθρωπος Θεός,*
*ἐξάλειψον αὐτὰ τῇ δρόσῳ τοῦ ἐλέους σου **
*καὶ ἐλέησον καὶ βοήθησόν μοι * Υἱὲ*
*τοῦ Θεοῦ * ἀγαθὲ Κύριε, βοήθησόν μοι * σὺ*
*γὰρ εἶ τὸ φῶς * καὶ ἡ ἀλήθεια καῖ ἡ*
*ζωή * σὺ γινώσκεις τὸ ἀσθενὲς*
*τῆς φύσεώς μου, καὶ οἷς ἐπίστασαι*
*κρίμασι Κύριε, σῶσόν με τὸν ἀνάξιον*
*δοῦλόν σου * ὅτι ἐυλογητὸς εἶ εἰς τοὺς αἰῶνας.*

*/Εὐχὴ ἑτέρα ἣν καὶ λέγωσιν τινές, ὅταν παραπέσωσιν εἰς ῥεῦσιν/.*
***Π**άλιν ὑπεσκελίσθην ὁ τάλας τὸν*
*νοῦν * τῇ πονηρᾷ συνηθείᾳ τῆς ἁμαρ*
*τίας δουλεύων * πάλιν ὁ τοῦ σκό*
*τους ἄρχων * καὶ τῆς ἐμπαθοῦς ἡδο*
*νῆς γεννήτωρ, αἰχμάλωτον εἶλε με **
*καὶ ὥσπερ δοῦλον τεταπεινωμένον*
*τῷ ἑαυτοῦ θελήματι καὶ ταῖς ἐπι*
*θυμίαις τῆς σαρκός, δουλεύειν*
[**90v**] *καταναγκάζει * καὶ τί ποιήσω*
*Κύριέ μου Κύριε * λυτρωτὰ καὶ ὑπερασπι*
*στὰ τῶν πεποιθότων ἐπὶ σέ **
*πρὸς σὲ πάλιν ἐπιστραφήσομαι **
*καὶ συγγνώμην αἰτήσω τῶν πεπραγ*
*μένων μοι * ἀλλὰ δέδοικα καὶ*
*τρέμω * μήπως καθ᾽ ἑκάστην ἐξο*

*17 μολογούμενος, καὶ ἀποχὴν τῶν κακῶν*
*18 ἐπαγγελόμενος, καὶ καθ' ὥραν*[108] *ἁ*
*19 μαρτάνων, καὶ μὴ ἀποδιδοὺς τὰς*
*20 εὐχάς μου σοὶ τῷ Θεῷ μου, τὴν μα*
*21 κροθυμίαν σου διεγείρω πρὸς*
*22 ἀγανάκτησιν * καὶ τίς ὑποίσει*
*23 Κύριε τὸν θυμόν σου * γινώσκων οὖν*
*24 τὸ πλῆθος τῶν οἰκτιρμῶν σου,*
*25 καὶ τὴν ἄβυσσον τῆς φιλανθρωπίας σου,*
*26 πάλιν ἐπιρρίπτω ἐμαυτὸν είς τὰ*
*27 ἐλέη σου * καὶ κράζω σοι τὸ ἥμαρτον **
*28 ὁ Θεὸς ἐλέησόν μὲ τὸν παραπεσόντα **
*29* [**91r**] *δός μοι χεῖρα βοηθείας, τῷ ἐν*
*30 βορβόρῳ τῶν ἡδονῶν βεβυθι*
*31 σμένῳ*[109] ** καὶ μὴ καταλίπης Κύριε τὸ*
*32 πλάσμα σου φθαρῆναι ταῖς ἀνομίαις*
*33 καὶ ταῖς ἁμαρτίαις * ἀλλὰ τῇ συ*
*34 νήθῃ σου χρηστότητι χρησάμενος,*
*35 ῥῦσαί με τοῦ μιασμοῦ καὶ τοῦ ῥύπου*
*36 τῆς σαρκός μου * καὶ τῶν ἐμπαθῶν*
*37 λογισμῶν, τῶν καθ' ἑκάστην κατα*
*38 χραινόντων τὴν ἐμὴν ἀθλίαν ψυχήν **
*39 ἰδοὺ γὰρ Κύριε ὁ Θεός μου, οὐκ ἔστι τόπος*
*40 ἐν ταύτῃ καθαρός * αλλ' ὅλη λελέπρωται,*
*41 τὴν ὁλοσώματον ἔχουσα πληγήν * αὐ*
*42 τὸς οὖν ὡς ἰατρὸς τῶν ψυχῶν,*
*43 καὶ τοῦ ἐλέους πηγή, καθάρισον ταύ*
*44 την, τῇ τῶν δακρύων μου καθάρσει **
*45 ταῦτα προχέων ἡμῖν δαψιλῶς **
*46 καὶ ἐπίχεε ἐπ' ἐμὲ τὴν φιλανθρωπίαν σου **
*47 καὶ ἴασαι τὰ συντρίμματα ταύτης **
*48* [**91v**] *καὶ δός μοι τὴν ἴασιν καὶ τὴν κάθαρ*

---

[108] A: *καθώραν.*
[109] A: *βεβυθισ/μένῳ.*

49 σιν * καὶ μὴ ἀποστρέψῃς τὸ πρόσω
50 πόν σου ἀπ’ ἐμοῦ, καὶ ὡς πῦρ κα
51 ταφάγεταί με ἡ ἀπόγνωσις * ἀλλ’
52 ὅπερ εἶπας ὁ ἀψευδὴς Θεός * ὅτι με
53 γάλη χαρὰ γίνεται ἐν τῷ οὐρανῷ ἐ
54 πὶ τῇ τοῦ ἁμαρτωλοῦ μετανοίᾳ,
55 τοῦτο πραχθείη καὶ ἐπ’ ἐμοὶ τῷ ἁ
56 μαρτωλῷ * καὶ μὴ κλείσῃς τὰ ὦτα
57 τῆς εὐσπλαγχνίας σου εἰς τὴν προ
58 σευχὴν τῆς μετανοίας μου * ἀλλ’ ἄνοι
59 ξόν μοι αὐτά, καὶ ὡς θυμίαμα κα
60 τεύθυνον τὴν προσευχήν μου ἐνώ
61 πιόν σου * οἶδας τὴν ἀσθένειαν τῆς
62 φύσεως ὁ πλάστης, καὶ τὸ εὐόλισθον
63 τῆς νεότητος * καὶ παρορᾷς ἁμαρ
64 τίας * καὶ τὴν μετάνοιαν ἐκδέχῃ
65 τῶν ἐν ἀληθείᾳ ἐπικαλουμένων σε *
66 ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

1 [**92r**] /Εὐχὴ ἑτέρα/.
2 **Π**αναγία Δέσποινα Θεοτόκε ἡ γεννήσασα
3 τὸν Κύριόν μου Ἰησοῦν Χριστὸν καὶ Θεόν, πρὸς σέ,
4 κατέφυγον * καὶ εἰς σὲ ἔχω τὰς ἐλ
5 πίδας μου * σὺ γενοῦ ὁδηγὸς καὶ
6 βοηθός, τῆς ἀθλίας καὶ ταλαιπώ
7 ρου μου καρδίας, εἰς τὰ ἐναέρια
8 καὶ σκοτεινὰ πνεύματα * καὶ λύτρω
9 σαί με τῆς φοβερᾶς ἡμέρας τῆς
10 κρίσεως * ὅτι εὐλογημένη ὑ
11 πάρχεις εἰς τοὺς αἰῶνας τῶν
12 αἰώνων * ἀμήν.

## {ΚΑΘΙΣΜΑ 8}

{92r-101r}
*Ἀρχὴ τοῦ ὀγδόου καθίσματος. Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Κύριε, ἐλέησον, ιβ΄. Δεῦτε προσκυνήσωμεν γ΄. Καὶ ἄρξου./*

{Ps 55} *νε΄ Ἐλέησόν με...*
{Ps 56} *νς΄ Ἐλέησόν με...*
{Ps 57} *νζ΄ Εἰ ἀληθῶς...*
{Ps 58} *νη΄ Ἐξελοῦ με ἐκ...*
{Ps 59} *νθ΄ Ὁ Θεὸς ἀπώσω...*
{Ps 60} *ξ΄ Εἰσάκουσον, ὁ Θεός...*
{Ps 61} *ξα΄ Οὐχὶ τῷ Θεῷ...*
{Ps 62} *ξβ΄ Ὁ Θεός, ὁ Θεός...*
{Ps 63} *ξγ΄ Εἰσάκουσον, ὁ Θεός...*

*Δόξα.*
*Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Τροπάρια πλ. δ΄.*
*Τί ποιήσεις...*
*Τεῖχος ἡμῖν...*
*Δόξα.*
*Οἴμοι πῶς...*
*Καὶ νῦν. Θεοτοκίον.*
*Φωτὸς ἀπόλαυσιν...*
*Τὸ Κύριε, ἐλέησον, ιε΄. Καὶ μετανοίας, ιε΄. Καὶ τὰς εὐχάς.*

{101r} ***Δ****έσποτα Κύριε Θεὲ τῶν ἁπάντων * ὁ τὰ πάντα πρὶν γενέσεως ἐπιστάμενος, σοὶ προσπίπτω ἐκ βαθέων ψυχῆς * ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἀναξίῳ δούλῳ σου * ἐξάλειψον τὰ ἁμαρτήματά μου καὶ ἐλέησον τὴν ταπεινήν μου ψυχήν * καὶ μὴ ἐάσῃς αὐτὴν χρονοτριβῆσαι*

*τοῖς πάθεσι τοῖς ἀτίμοις τοῦ βίου*
*τούτου * ἀλλὰ τῇ σῇ εὐσπλαγχνίᾳ,*
[**101v**] *κυβέρνησον αὐτὴν εἰς ὁδὸν εὐ*
*θεῖαν πορεύεσθαι ἐν τῇ τρίβῳ*
*τῶν ἐντολῶν σου *ὁ μὴ βουλόμενος*
*τὸν θάνατον τοῦ ἁμαρτωλοῦ,*
*ἀλλὰ τὴν ἐπιστροφὴν καὶ μετάνοιαν,*
*καὶ δός μοι καιρὸν ἐπιστροφῆς * ὁ*
*ἐπακούσας τοῦ ληστοῦ δεομένου,*
*ἐπάκουσον τῆς δεήσεώς μου **
*καὶ εἴτι ἥμαρτον ἐν ἀγνοίᾳ καὶ γνώ*
*σει * ἐν ἔργῳ καὶ ἐν λόγῳ * ἐν ἐνθυ*
*μήσει καὶ ἐν ὥρᾳ * ἐν ἡμέρᾳ καὶ*
*ἐν νυκτί, τὰ πάντα μοι συγχώρησον **
*πάντα πάριδε τὰ ἁμαρτήματά μου **
*καὶ μὴ παραδῴης τὴν ἀθλίαν μου*
*ψυχὴν τοῖς πικροῖς θηρίοις τοῦ*
*καλάμου * μηδὲ*[110] *κατανεμέτω αὐ*
*τήν, μονιὸς ἄγριος * εἰς τὸ κατασπά*
*σαι αὐτὴν εἰς πέταυρον ᾋδου * ἀλλὰ*
*κατεύθυνον τὰ διαβήματά μου **
[**102r**] *καὶ μὴ μνησθῇς τῶν ἀνομιῶν μοῦ*
*ἐν ἡμέρᾳ κρίσεως * νικησάτω*
*ἡ φιλανθρωπία σου τὸ πλῆθος τῶν κα*
*κῶν μου * βοήθησόν μοι Κύριε ὁ Θεός μου*
*καὶ σῶσόν με κατὰ τὸ ἔλεός σου **
*καὶ δίδαξόν με πῶς δεῖ προσεύ*
*χεσθαι καὶ ἐπικαλεῖσθαι τὸ ὄνο*
*μά σου τὸ ἅγιον * ὅτι σὺ εἶ Θεὸς ἡμῶν **
*Θεὸς τοῦ ἐλεεῖν καὶ σῴζειν * καὶ σοὶ*
*τὴν δόξαν ἀναπέμπομεν * τῷ Πατρὶ*
*καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι.*

[110] A: *μὴ δέ.*

*/Ἑτέρα εὐχή/.*
***Π**αντοκράτορ Λόγε τοῦ Πατρός * ὁ αὐ*
*τοτελὴς Θεὸς Ἰησοῦ Χριστέ * ὁ διὰ τὰ ταχέ*
*α σου σπλάγχνα μηδέποτε χωρι*
*ζόμεος τῶν σῶν οἰκετῶν, ἀλλὰ*
*ἀεὶ ἐν αὐτοῖς ἀναπαυόμενος Ἰησοῦ Χριστὲ*
*ὁ καλὸς ποιμήν, μὴ παραδῴης με*
*τῇ ἐπιβουλῇ τοῦ ὄφεως μηδὲ*[111]
*ταῖς ἐπιθυμίαις τοῦ Σατανᾶ καταλίπῃς με **
*[**102v**] διότι σπέρμα φθορᾶς ἐν αὐτῷ πέ*
*φυκε * σὺ οὖν βασιλεῦ πανάγιε **
*προσκυνητὲ Ἰησοῦ Χριστέ, καθεύδοντά*
*με φύλαξον τῇ ἀθανάτῳ σου βουλῇ **
*καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ*
*ζωοποιῷ σου Πνεύματι ᾧ ἡγίασας*
*τοὺς σοὺς μαθητάς * ῥυόμενός με*
*ἐκ τῆς ἐπιβουλῆς τοῦ ὄφεως **
*δὸς δέ μοι τῷ ἀναξίῳ, τὴν ἀγαλλί*
*ασιν τοῦ σωτηρίου σου ἐπὶ τῆς κοίτης μου **
*τὴν καρδίαν μου καθάρισον ἐν τῇ*
*καθαρότητι τῶν λόγων σου * τὸν*
*νοῦν μου φώτισον τῷ φωτὶ τῆς*
*γνώσεως τοῦ εὐαγγελίου σου * τὴν*
*ψυχήν μου, ἐν τῇ ἀγάπῃ τοῦ σταυροῦ σου **
*τὸ σῶμά μου, ἐν τῷ σῷ πάθει τοῦ*
*ἀπαθοῦς * τοὺς λογισμούς μου, ἐν*
*τῇ σῇ εἰρήνῃ διαφύλαξον * καὶ ἀνά*
*στησόν με ἐν τῷ καιρῷ τῆς προσευχῆς*
*[**103r**] ὑμνεῖν καὶ δοξάζειν τὸ πανάγιον*
*ὄνομά σου * καὶ τοῦ ἀνάρχου σου Πατρός **
*καὶ τοῦ παναγίου καὶ ζωοποιοῦ σου*
*Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.*

---

[111] A: *μὴ δέ.*

*/Εὐχὴ ἑτέρα/.*
***Π**αναγία Δέσποινα Θεοτόκε * τοῦ κόσμου*
*Κυρία * τὸ καύχημά μου * ἡ ἐλπίς μου **
*ἡ προστασία * ἡ σκέπη * ἡ καταφυγή **
*ἡ παραμυθία * τὸ ἀγαλλίασμά μου,*
*κυριευθέντα με ὑπὸ πολλῶν πται*
*σμάτων*[112]*, ἐλέησον * καὶ δεῖξον τὰ*
*σπλάγχνα σου εἰς ἐμὲ τὸν ἁμαρτωλόν **
*ἡ τὸ φῶς τὸ ἀληθινὸν τεκοῦσα,*
*φώτισον τοὺς νοητοὺς ὀφθαλμοὺς*
*τῆς καρδίας μου * ἡ τὴν πηγὴν*
*τῆς ἀθανασίας κυήσασα, ζω*
*οποίησόν με τὸν τεθανατωμέ*
*νον τῇ ἁμαρτίᾳ * ἡ ἀγαθὴ τοῦ ἀγαθοῦ **
*ἡ φιλάνθρωπος τοῦ φιλανθρώπου * ἡ ἐλεή*
*μων τοῦ ἐλεήμονος Θεοῦ Μήτηρ,*
[**103v**] *ἐμὲ τὸν ἐν ἀνομίαις καὶ ἐν ἁμαρ*
*τίαις τεχθέντα, οἴκτειρον * βοή*
*θησον * καὶ κληρονόμον με δεῖξον*
*τῆς βασιλείας αὐτοῦ * ὅτι σὺ εἶ*
*πάντων τῶν χριστιανῶν ἡ ἐλπίς,*
*καὶ ἐμοῦ τοῦ ἐλεεινοῦ καὶ ἁμαρτωλοῦ **
*καὶ σὲ δοξάζω εἰς τοὺς αἰῶνας, ἀμήν.*

[112] A: *πταισ/μάτων.*

## {ΚΑΘΙΣΜΑ 9}

{103v-113r}
*Ἀρχὴ τοῦ θ΄*[113] *καθίσματος. Τρισάγιον. Παναγία Τριάς.*
*Πάτερ ἡμῶν. Τὸ Κύριε, ἐλέησον, ιβ΄. Δεῦτε προσκυνήσωμεν γ΄.*
*Καὶ ἄρξου./*
{Ps 64} *ξδ΄ Σοὶ πρέπει...*
{Ps 65} *ξε΄ Ἀλαλάξατε τῷ Κυρίῳ...*
{Ps 66} *ξς΄ Ὁ Θεὸς οἰκτειρήσαι...*
{Ps 67} *ξζ΄ Ἀναστήτω ὁ Θεός...*
{Ps 68} *ξη΄ Σῶσόν με...*
{Ps 69} *ξθ΄ Ὁ Θεός, εἰς...*
*Δόξα.*
*Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Τροπάρια· Ἦχος α΄.*
*Ἀπὸ ὕψους...*
*Τῷ ὅπλῳ...*
*Δόξα.*
*Ὁ ποιμήν...*
*Καὶ νῦν. Θεοτοκίον.*
*Κύριε, κατανοῶ...*
*Κύριε, ἐλέησον, ιε΄. Μετανοίας, ιε΄. Καὶ τὰς εὐχάς.*

{113r} ***Κ****ύριε ὁ Θεός μου * ὁ πάντας ἀνθρώπους θέ*
*λων σωθῆναι καὶ εἰς ἐπίγνω*
*σιν ἀληθείας ἐλθεῖν * ὁ μὴ βουλό*
[**113v**] *μενος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ*
*ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν ἀυτόν,*
*ἐλέησόν με τὸν ἁμαρτωλόν **
*καὶ δώρησαί μοι λογισμὸν πάν*
*τοτε, ταῖς ἰδίαις ἁμαρτίαις*
*προσέχειν μετὰ αἰσθήσεως καὶ*
*πόνου καρδίας * ἵνα ἐν αὐταῖς*

[113] A: *θ΄ου.*

*ἀσχολούμενος, καὶ τὰς ἀλλοτρί*
*ας μὴ γινώσκων, κτήσομαι τὸν*
*φόβον σου τὸν ἅγιον * δι' οὗ δυνήσομαι*
*ἀπὸ παντὸς κακοῦ ἐκκλῖναι*[114] *
*καὶ λατρεύειν σοι ἐν καρδίᾳ συντε*
*τριμμένην καὶ τεταπεινωμένην **
*Κύριε ὡς κελεύεις * Κύριε ὡς γινώσκεις*
*Κύριε ὡς βούλει, γενηθήτω τὸ θέ*
*λημά σου ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ **
*Κύριε τὸ σὸν θέλημα γενέσθω ἐπ' ἐμοί,*
*καὶ μὴ τὸ ἐμόν * πρεσβείαις τῆς πα*
*νενδόξου*[115] *Θεοτόκου, καὶ πάντων τῶν ἁγίων ἀμήν.*

**[114r]** */Εὐχὴ ἑτέρα/.*

***Κ****ύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν * ἡ τοῦ Θεοῦ καὶ*
*Πατρός * εἰκών * καὶ ἰσχὺς καὶ σοφία*
*καὶ δύναμις * σὺν τῷ ἁγίῳ καὶ*
*ζωοποιῷ σου Πνεύματι * Τριὰς ἡ ἀ*
*μέριστος * καὶ ὁμόθρονος * καὶ ὁμόδοξος **
*ἡ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρα*
*γαγοῦσα τὰ σύμπαντα, ἀξίω*
*σόν με τὸν ἁμαρτωλόν, τοῦ ἀνυ*
*μνεῖν καὶ δοξάζειν * καὶ αἰτεῖσθαι*
*τοὺς οἰκτιρμούς σου * καὶ μὴ παρα*
*χωρήσῃς με ἀπολέσθαι ταῖς ἀνο*
*μίαις μου * μηδὲ*[116] *τοῖς ἀκαθάρτοις*
*καὶ αἰσχροῖς λογισμοῖς μου * ἀλλὰ*
*ἀξίωσόν με νεκρωθῆναι ἀπὸ πάν*
*των τούτων * καὶ ζῆσαι ἐν τῷ*
*φωτὶ τῶν ἁγίων καὶ νοερῶν*

---

[114] A: *ἐκκλίναι.*
[115] A: *παν/ενδόξου.*
[116] A: *μὴ δέ.*

*18 λογίων καὶ ἐντολῶν σου * πρε*
*19 σβείαις*[117] *τῆς Ὑπεραγίας Θεοτόκου * τῶν*
*20 ἁγίων καὶ νοερῶν σου λειτουγῶν*
*21* [**114v**] *τοῦ ἁγίου Ἰωάννου * τοῦ προφήτου*
*22 Προδρόμου καὶ Βαπτιστοῦ * καὶ*
*23 πάντων τῶν ἁγίων τῶν ἀπ᾽ αἰ*
*24 ῶνος σοι εὐαρεστησάντων * ἀμήν.*

*1 /Εὐχὴ ἑτέρα/.*
*2* **Ὑ***περάγαθε καὶ πολυέλεε Κύριε * ὁ τῇ*
*3 ἀφάτῳ δυνάμει σου πάντα ποιῶν **
*4 καὶ μετασκευάζων μόνῳ βουλήματι **
*5 ὁ τὸ συμφέρον ἑκάστῳ τῶν ἀνθρώπων **
*6 καὶ εἰδὼς πρὸ γενέσεως, καὶ οἰκονομῶν*
*7 τοῖς ἀνεφίκτοις σου κρίμασιν **
*8 ὁ τὸ τῆς φύσεως τῆς ἡμετέρας*
*9 ἀσθενὲς καὶ ὀλισθηρὸν ὡς δημι*
*10 ουργὸς ἐπιστάμενος * ὁ πατρικῶς μέν,*
*11 πατάσσων καὶ νουθετῶν συμ*
*12 παθῶς δὲ αὖθις ὡς ἀγαθὸς ἀπο*
*13 καθιστάς, πρόσδεξαι διὰ τὸ ἄ*
*14 πειρον πλῆθος τῆς χρηστότητός σου,*
*15 καμοῦ*[118] *τοῦ ἀναξίου δούλου σου τὴν*
*16 οἰκτρὰν προσευχήν * καὶ*
*17* [**115r**] *πάντας τοὺς ἐν ποικίλαις θλί*
*18 ψεσιν ἢ περιστάσεσιν * ἢ συκοφαντίαις **
*19 ἢ ἐπιβουλαῖς * ἢ κινδύνοις, ἢ νόσοις **
*20 ἢ ἐπηρείαις * ἢ ἀπορίαις * ἢ παντο*
*21 δαπαῖς κακώσεσι * φανερῶς τε*
*22 καὶ ἀδήλως πιεζομένους καὶ κα*

[117] A: *πρεσ/βείαις.*
[118] A: *κα᾽ μοῦ.*

*κοχουμένους, ἀπάλλαξον ὡς φιλάνθρωπος * καὶ τῆς ἐπικειμένης αὐτοῖς ἀθυμίας καὶ ἀχθηδόνος, τὸ νέφος τῶν πειρασμῶν, καὶ τὴν τῶν ἐναντίων πνευμάτων ζάλην, διασκέδασον ἀπὸ τῶν ψυχῶν αὐτῶν * βέλη νηπίων ἡγεῖσθαι, τὰς ἐπαγομένας αὐτοῖς κακώσεις ἐυδόκησον * χάρισαι αὐτοῖς τῶν θλιβερῶν ὑπομονήν * καὶ τῶν διενοχλούντων ἀνακωχὴν καὶ παράκλησιν * κατὰ τὸ ἐν τῇ ἑκάστου καρδίᾳ τῶν ὀδυνῶν αὐτῶν πλῆθος **[115v]** ῥῦσαι αὐτοὺς καὶ πάντας τοὺς εἰς σὲ πιστεύοντας καὶ ἐλπίζοντας, παντοίων πειρασμῶν νοουμένων τὲ καὶ ὁρωμένων * καὶ τῶν τοῦ παναγίου Πνεύματος καρπῶν, μετόχους ἀνάδειξον * ματαίωσον τὰς κατ᾽ αὐτῶν, τῶν πονηρῶν ἐπινοίας * φώτισον τοὺς ὀφθαλμοὺς τῶν διανοιῶν αὐτῶν, τῷ φωτὶ τῶν θείων σου ἐντολῶν * καὶ διὰ μετανοίας καὶ ἀγαθοεργίας εὐαρεστοῦντας σοι, τόν τε βίον αὐτοῖς πρὸς τὸ λυσιτελέστερον ἐξομάλισον * καὶ τὴν τῶν αἰωνίων σου ἀγαθῶν ἀπόλαυσιν δώρησαι * πρεσβείαις τῆς ἀσπόρως τεκούσης σε Δεσποίνης ἡμῶν Θεοτόκου * καὶ πάντων σου τῶν ἁγίων * ἀμήν.*

## {ΚΑΘΙΣΜΑ 10}

{116r-126v}
*Ἀρχὴ τοῦ δεκάτου καθίσματος. Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Κύριε, ἐλέησον, ιβʹ. Δεῦτε προσκυνήσωμεν τρίς. Καὶ ἄρξου./*

{Ps 70} *οʹ Ἐπὶ σοί...*
{Ps 71} *οαʹ Ὁ Θεός, τὸ...*
{Ps 72} *οβʹ Ὡς ἀγαθός...*
{Ps 73} *ογʹ Ἵνα τί ὁ Θεός...*
{Ps 74} *οδʹ Ἐξομολογησόμεθά σοι...*
{Ps 75} *οεʹ Γνωστὸς ἐν...*
{Ps 76} *οϛʹ Φωνῇ μου...*

*Δόξα.*
*Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Τροπάρια· Ἦχος γʹ.*
*Σταυρὸν ὑπέμεινας...*
*Τὴν ῥαθυμίαν...*
*Δόξα.*
*Προφῆται μάρτυρες...*
*Καὶ νῦν. Θεοτοκίον.*
*Θεομακάριστε Μῆτερ...*
*Κύριε, ἐλέησον, ιεʹ. Μετανοίας, ιεʹ. Καὶ τὰς εὐχάς.*

{126v} ***Κ**ύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν * ὁ τοῦ Πατρὸς μονογενὴς Υἱὸς καὶ Λόγος * ὁ πάσης ὁρατῆς καὶ ἀοράτου κτίσεως ποιητής * ὁ τὸν ὑπὲρ ἡμῶν διὰ τὴν ἄφατόν σου φιλανθρωπίαν καταδεξάμενος θάνατον, καθὼς αὐτὸς εὐδόκησας, ῥυσάμενος ἡμᾶς διὰ τοῦ τιμίου σου αἵματος τῆς ἐξουσίας τοῦ σκότους, αὐτὸς κράτησον* [**127r**] *τῆς χειρὸς τῆς δεξιᾶς μου, καὶ ὁ*

*11 δήγησόν με εἰς τὸν φόβον σου **
*12 καὶ πλήρωσόν με τῆς αἰνέσε*
*13 ως τοῦ θελήματός σου * καὶ ἀξί*
*14 ωσόν με ἐν παντὶ ἔργῳ ἀγαθῷ*
*15 καρποφοροῦντα καὶ συναυξα*
*16 νόμενον ἐν ἐπιγνώσει τῆς σῆς ἀλη*
*17 θείας, μετὰ χαρᾶς καὶ εὐφροσύνης*
*18 καὶ εὐχαριστίας, συναθλεῖν τῷ εὐαγ*
*19 γελίῳ*[119] *τῆς χάριτός σου * καὶ ἀξί*
*20 ωσόν με τῆς μερίδος τῶν ἁγίων*
*21 ἐν τῷ φωτί σου * εὐχαῖς καὶ ἱκε*
*22 σίαις τῆς πανενδόξου Δεσποίνης*
*23 ἡμῶν τῆς ἀσπόρως κυησάσης σε **
*24 καὶ πάντων σου τῶν ἁγίων ἀμήν.*

*1 /Ἑτέρα/.*
*2* ***Κ****ύριε ὁ Θεός μου * ὅσα σοι ἥμαρτον τῷ*
*3 χρόνῳ τῆς ζωῆς μου * εἴτε ἐν λό*
*4 γῳ * εἴτε ἐν ἔργῳ * εἴτε ἐν διανοίᾳ **
*5 εἴτε ἐν πάσῃ μου αἰσθήσει,*
*6* **[127v]** *συγχώρησόν μοι διὰ τὸ ὄνομά σου*
*7 τὸ ἅγιον * εἰρηνικὴν τὴν νύκτα ταύτην*
*8 καὶ τὸν ὕπνον ἀτάραχον δώρησαί*
*9 μοι * τὸν ἄγγελόν σου τῆς εἰρήνης κα*
*10 τάπεμψόν μοι, φυλάττοντά με ἀ*
*11 πὸ παντὸς κακοῦ, καὶ ἀπὸ πάσης*
*12 μάστιγος τοῦ πονηροῦ * ὅτι σὺ Κύριε δυ*
*13 νατὸς εἶ * καὶ σοῦ ἐστιν ἡ βασιλεία*
*14 καὶ ἡ δύναμις καὶ ἡ δόξα * τοῦ Πατρὸς*
*15 καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν καὶ ἀεί.*

---

[119] A: *εὐα/γγελίῳ.*

*1 /Ἑτέρα/.*
*2* ***Π****αναγία Θεοτόκε Κυρία τοῦ κόσμου * κυρι*
*3 ευθέντα με ὑπὸ πολλῶν πταισμάτων,*
*4 ἐλέησον * καὶ φιλανθρωπεύθητι*
*5 εἰς ἐμὲ τὸν ἀνάξιον καὶ ἁμαρ*
*6 τωλόν * ἡ τὸ ἀληθινὸν φῶς τεκοῦσα,*
*7 φώτισον τοὺς ὀφθαλμούς μου τοὺς*
*8 νοητοὺς καὶ τοὺς αἰσθητούς * ἡ τὴν*
*9 πηγὴν τῆς ἀθανασίας κυήσασα,*
*10 σῶσόν με τὸν τεθανατωμένον*
*11* [**128r**] *τῇ ἁμαρτίᾳ ἡ ἀγαθὴ τοῦ ἀγαθοῦ **
*12 ἡ φιλάνθρωπος τοῦ φιλανθρώπου * ἡ ἐλε*
*13 ἥμων τοῦ ἐλεήμονος καὶ πα*
*14 νοικτίρμονος*[120] *Θεοῦ Μήτηρ * ἐμὲ τὸν ἐν*
*15 ἁμαρτίαις * τὸν ἐν ἀνομίαις*
*16 συλληφθέντα καὶ τεχθέντα,*
*17 ἐλέησον * οἴκτειρον * βοήθησον **
*18 σπλαγχνίσθητι εἰς ἐμὲ τὸν ἄθλι*
*19 ον καὶ ταλαίπωρον τὸν χρή*
*20 ζοντα ἐλέους καὶ φιλανθρωπίας παρὰ*
*21 σοῦ, καὶ μὴ ὄντα ἄξιον * οἰκτεί*
*22 ρησόν με τὸν ξενωθέντα ἀπὸ σοῦ*
*23 καὶ ἀπὸ Θεοῦ * καὶ ξενίσατα ἑαυτὸν*
*24 τοὺς δαίμονας ἀπὸ τοῦ βυθοῦ καί,*
*25 τοῦ πλήθους τῶν κακῶν μου * ἐ*
*26 λέησον * συγχώρησον * ὅτι σὺ εἶ*
*27 καὶ τεῖχος καὶ σκέπη καὶ λιμὴν*[121]
*28 πάντων τῶν χριστιανῶν, καὶ*
*29 ἐμοῦ τοῦ ἀναξίου τοῦ οὐρανοῦ καὶ τῆς γῆς **
*30* [**128v**] *ἅγιοι ἄγγελοι * νόες καθαροί * φῶτα*
*31 δεύτερα τοῦ μεγάλου καὶ ἀκραι*

[120] A: *παν/οικτίρμονος.*
[121] A: *λιμηῶ.*

*φνεστάτου φωτός * Σεραφὶμ*[122] *καὶ Χερουβίμ*[123] ** ἐξουσίαι θρόνοι * κυριότητες * πολυόμματα ἑξαπτέρυγα * ἀρχάγγελοι * πᾶσαι αἱ ἐπουράνιαι δυνάμεις, οἱ τῷ θρόνῳ παρεστῶσαι τοῦ Θεοῦ, ἐλεήσατέ με τὸν ἁμαρτωλόν * καὶ τὸν Θεὸν ὑπὲρ ἐμοῦ ἱλεώσασθε * ἅγιε Ἰωάννη προφήτα Πρόδρομε καὶ Βαπτιστὰ τοῦ Χριστοῦ * ἅγιοι ἀπόστολοι τοῦ Χριστοῦ * μάρτυρες καὶ προφῆται*[124]*, βοηθήσατε * καὶ ῥύσασθαί μου τὴν ψυχὴν ἀπὸ τῆς ἀποκειμένης κολάσεως * καὶ μνήσθητι Κύριε πάντων τῶν μισούντων με, καὶ τῶν λαλούντων πονηρᾶ κατ' ἐμοῦ μνήσθητι τῶν ἀγαπώντων*[125] *καὶ διακονούντων ἡμῖν * μνήσθητι τῶν συγγενῶν * ἰδίων * ξένων* **[129r]** *αἰχμαλώτων * στενοχωρουμένων * θλιβομένων * καὶ πάντων ἀδελφῶν ἡμῶν τῶν χριστιανῶν * τεθνεώτων νοσούντων * ζώντων * καὶ εἰς τὸ ἅγιόν σου πιστευόντων ὄνομα * πάντας ἐλέησον * πάντας οἰκτείρησον * πάντων προνοήθητι * ὡς Πατὴρ * ὡς πλάστης * ὡς δημιουργός * ὡς ἀγαθὸς καὶ φύσει Θεὸς φιλάνθρωπος * ναὶ Δέσποτα φιλάνθρωπε, μὴ ἀποστρέψῃς ἡμᾶς ἀπὸ σοῦ*[126] *διὰ τὰς ἁμαρτίας ἡμῶν * ἡμάρτομεν * ἠνομήσαμεν * ἠδικήσαμεν*

[122] <<Σεραφείμ>>, Δ. Δημητράκος, *Νέον Λεξικὸν Ὀρθογραφικὸν καὶ Ἑρμηνευτικὸν ὅλης τῆς Ἑλληνικῆς Γλώσσης* (Ἀθῆναι: Ἐκδοτικὸς οἶκος 'Χρ. Γιοβάνη', 1969) 1591.

[123] <<Χερουβείμ>>, *Ibid*., 1604.

[124] A: *προφήται.*

[125] A: *ἀγαπόντων.*

[126] A: *σου.*

*ἐνώπιόν σου * καὶ τὰς ἐντολάς σου οὐκ ἐ*
*φυλάξαμεν * καγὼ*[127] *ὁ ἀνάξιος γέγονα*
*πάντων αἴτιος, διὰ τῶν ἐμῶν οἰ*
*κείων ἁμαρτημάτων * τοσοῦτον*
*ἐπ' ἐμὲ*[128] *δεῖξον τοὺς οἰκτιρμούς σου καὶ*
*τὰ ἐλέη σου, ἅπερ εἰσὶν ἀμέτρητα **
*καὶ καθὸ εἰσὶν ὑπέρμετρα, τοσοῦτον*
*ἐπὶ τῶν ἁμαρτημάτων τῶν ἁμαρ*
[**129v**] *τωλῶν ἡμῶν, τὴν ἀγαθότητά σου δεῖξον*
*ὅπου γὰρ ἡ ἁμαρτία ἐπλεόνασεν,*
*ὑπερεπερίσσευσεν ἡ χάρις * καὶ αἰ*
*νέσω καὶ δοξάσω σε διαπαντὸς πάσας*
*τὰς ἡμέρας τῆς ζωῆς μου * ὅτι εὐλογητὸς*
*εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων * ἀμήν.*

*/Εὐχὴ ἑτέρα/.*
**Δ***έσποινα πάντων Δέσποινα ἁγνὴ*
*Θεοτόκε * ἡ τὸν Σωτῆρα τῶν ὅλων τέξασα*
*καὶ δημιουργὸν πάσης κτίσεως, ἔπιδε*
*ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ καὶ ἀναξίῳ*
*δούλῳ σου, τὸν περιμένοντα τὸ σὸν*
*πλούσιον ἔλεος δέξασθε εἰς σωτηρίαν*
*ψυχῆς καὶ σώματος * καὶ διαφύλαξόν με*
*ἐν παντὶ καιρῷ καὶ κατὰ τὴν παροῦσαν*
*ἑσπέραν καὶ τὴν ἐπιοῦσαν νύκτα ἀπὸ*
*παντὸς ἐχθροῦ * ἀπὸ πάσης ἀντικειμένης*
*ἐνεργείας * διαλογισμῶν ματαίων καὶ ἐνθυ*
*μήσεων πονηρῶν * ἡ εὐλογημένη καὶ δεδοξασμένη*
*εἰς πάντας τοὺς αἰῶνας τῶν αἰώνων * ἀμήν.*

[127] A: *κα' γώ.*
[128] A: *ἐ/π' ἐμέ.*

## {ΚΑΘΙΣΜΑ 11}

{130r-143r}
*Συνέσεως τῷ Ἀσάφ.*
*Κάθισμα ια´.*
{Ps 77} *οζ´ Προσέχετε, λαός μου...*
{Ps 78} *οη´ Ὁ Θεός, ἤλθοσαν...*
{Ps 79} *οθ´ Ὁ ποιμαίνων τόν...*
{Ps 80} *π´ Ἀγαλλιᾶσθε τῷ Θεῷ...*
{Ps 81} *πα´ Ὁ Θεὸς ἔστη...*
{Ps 82} *πβ´ Ὁ Θεός, τίς...*
{Ps 83} *πγ´ Ὡς ἀγαπητά...*
{Ps 84} *πδ´ Εὐδόκησας, Κύριε...*
*Δόξα.*
*Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Τροπάρια πλ. δ´.*
*Ὄμματι εὐσπλάγχνῳ...*
*Ὡς τοῦ κριτοῦ...*
*Δόξα· Ἦχος δ´.*
*Τὴν ταπεινήν μου...*
*Καὶ νῦν. Θεοτοκίον.*
*Ἀμαρτάνοντα...*
*Τὸ Κύριε, ἐλέησον, ιε´. Μετανοίας, ιε´.*

*1* {143r} *Εὐχή.*
*2* ***Δ****έσποτα Κύριε * Υἱὲ τοῦ φιλανθρώπου Πατρός **
*3 ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου **
*4* [**143v**] *καὶ οὐκ εἰμὶ ἄξιος κληθῆναι υἱ*
*5 ός σου * ἀλλά θαρρῶν εἰς τοὺς*
*6 οἰκτιρμούς σου, ἐπιρρίπτω ἐμαυτὸν*
*7 εἰς τὴν σὴν ἀγαθότητα * ἔχω ὅμη*
*8 ρον τῆς σῆς εὐσπλαγχνίας τὸν τίμιον*
*9 σταυρόν, ὅν δι’ ἡμᾶς ὑπέμεινας * ἔχω*
*10 ἐγγυητὰς τῆς σῆς ἀληθείας, τὴν πόρνην **

11 καὶ τὸν ληστὴν καὶ τὸν τελώνην *
12 καὶ τὸν ποτὲ διώκτην καῖ βλά
13 σφημον[129] Παῦλον * δι' αὐτῶν γάρ,
14 πάντας ἡμᾶς τοὺς ἁμαρτωλοὺς
15 προτρέπεις, προστρέχειν τῇ σῇ ἀγα
16 θότητι Κύριε * καὶ ὡς ἐκείνους μακα
17 ρίους καὶ ἀοιδίμους ἀπέδειξας,
18 καὶ ἐμὲ τὸν ἁμαρτωλὸν προσπί
19 πτοντα τοῖς οἰκτιρμοῖς σου κα
20 θάρισον * ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

1 /Εὐχὴ ἑτέρα/.
2 **Φ**ιλάνθρωπε Ἀγαθέ, εἰς τοὺς οἰκτιρμούς
3 σου θαρρῶ καὶ ἐλπίζω * μή με
4 **[144r]** στήσῃς ἐξ εὐωνύμων σου * μετὰ
5 τῶν ἐρίφων τῶν παρωξυνάντων σε *
6 μή με εἴπῃς οὐκ οἶδα σε * οὐκ εἶ ἐκ
7 τῶν προβάτων τῶν ἐμῶν * ἀλλὰ
8 δός μοι διὰ τὴν πολλήν σου εὐσπλαγ
9 χνίαν, διηνεκῆ[130] κλαυθμὸν καὶ κατά
10 νυξιν * καὶ ταπείνωσιν ἐν τῇ καρ
11 δίᾳ μου * καὶ ἁγίασον αὐτήν, ἵνα γέ
12 νηται ναὸς ἅγιός σου * εἰ γὰρ καὶ ἁμαρ
13 τωλὸς εἰμὶ καὶ ἀσελγής, ἀλλ' οὖν δι
14 ηνεκῶς εἰς τὴν θύραν σου κρούω *
15 καὶ εἰ ὀκνηρὸς καὶ ῥάθυμος εἰμί,
16 ἀλλ' εἰς τὴν ὁδόν σου βαδίζω * μή με
17 βδελύξῃ * μή με ἀπώσῃ * ἀλλ' ἐναγ
18 κάλισαι[131] καὶ δός μοι διόρθωσιν τῶν
19 ἐσφαλμένων μοι * καὶ ἀξίωσον τῆς

[129] A: *βλάσ/φημον.*
[130] A: *διηνεκεῖ.*
[131] A: *ἐν/ἀγκάλισαι.*

*ἐκ δεξιῶν*[132] *σου παραστάσεως, ὡς ἐλεήμων καὶ μακρόθυμος * σοὶ γὰρ πρέπει πᾶσα δόξα τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας * ἀμήν.*

[**144v**] */Εὐχὴ ἑτέρα εἰς τὴν Ὑπεραγίαν Θεοτόκον/.*

***Π****αρθένε Δέσποινά μου Ἁγία Θεοτόκε * ἡ τὸν Θεὸν Λόγον κατὰ σάρκα γεννήσασα, ἱκέτευε τὸν ἄχραντόν σου Υἱὸν καὶ Θεόν μου, ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου * καὶ δέξαι μου τὴν ἐξομολόγησιν ταύτην * καὶ μὴ ἀπο στραφήτω κενὴ*[133] *ἡ δέησίς μου ἀπὸ σοῦ*[134] ** οἶδα γὰρ οἶδα, ὅτι πάντοτε εἰσακούεις τοὺς εἰς σὲ δεομένους * καὶ νῦν ἐπάκου σόν μου τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου * ὅτι οὐκ εἰμὶ ἄξιος ἀτενίσαι πρὸς σὲ τοῖς ῥυπαροῖς*[135] *μου ὄμμασι, καὶ βλέψαι τὴν σὴν ἄχραντον εἰκόνα * τὸν νοῦν μου τὸν ῥυπαρόν * τὸν νοῦν τὸν ἄσωτον * τὸν νοῦν τὸν μεμολυσμένον * τὸν βεβυ θισμένον τοῖς παραπτώμασιν * ἀλλὰ Δέσποινά μου ἁγία Θεοτόκε, βοήθησόν μοι τῷ ταπεινῷ * τῷ μὴ ἔχοντι τινὰ πρὸς βοήθειαν * ἐπίταξον καμοὶ*[136] [**145r**] *τῷ δεομένῳ σοι, συγχωρηθῆναι μοι πάντα τὰ ἁμαρτήματά μου τὰ ἐν ἔργῳ * τὰ ἐν λόγῳ * τὰ ἐνθυμήσει * τὰ ἐν διανοίᾳ * τὰ ἑκούσια * τὰ ἀκούσια **

---

[132] A: *δεξιών.*
[133] A: *κενῇ.*
[134] A: *σου.*
[135] A: *ῥυπαροίς.*
[136] A: *κα' μοί.*

*25 τὰ ἐν ὕπνῳ * τὰ ἐνεγρηγόρσει*[137] ** τὰ εἰς*
*26 γέλωτα * τὰ εἰς ὀνειδισμόν * τὰ τῆς*
*27 ἔχθρας * τὰ τῆς μνησικακίας * τὰ τῆς*
*28 παρακοῆς * τὰ τῆς παραβάσεως **
*29 τὰ τῆς ἀπροσεξίας * τὰ τῆς φιλοσαρ*
*30 κίας * τὰ τῆς ἐνδομοιχείας * τα τῆς*
*31 ὑπερηφανίας * τὰ τῆς πορνείας * τὰ*
*32 τῆς μοιχείας * τὰ τῆς κλεψίας * τὰ*
*33 τῆς μαλακίας * τὰ τῆς ἐνθυμήσεως **
*34 τὰ τῆς αἰσχροκαρδίας * τὰ εἰδόντα **
*35 τὰ συνόντα * τὰ γνῶντα * τὰ στήσαντα **
*36 τὰ φθάσαντα * τὰ δείξαντα * τὰ ποιήσαντα **
*37 τοῦ ζήλου * τοῦ φθόνου * τοῦ φόνου * τοῦ*
*38 δόλου * τῶν ὅρκων * τῶν ἔργων * τῶν*
*39 σατανικῶν τὴν ἐκπλήρωσιν * ναι*
*40* [**145v**] *Δέσποινά μου ἁγία Θεοτόκε * ἄνες * ἄφες **
*41 ἱλάσθητι * σπλαγχνίσθητι * μεταμελή*
*42 θητι * συγχώρησόν μοι τὰ δεινὰ ἁμαρ*
*43 τήματά μου ἅπερ ἔπραξα ταῖς*
*44 ἰδίαις χερσί * σὺ γινώσκεις Δέσποινα,*
*45 τὰ κρυπτὰ καὶ φανερὰ τῆς καρδίας μου **
*46 καὶ ἀπὸ σοῦ οὐκ αἰσχύνομαι τοῦ ἐξαγγέλ*
*47 λειν*[138] *τὰς ἁμαρτίας μου, ἅς εἰργασάμην*
*48 ἐνώπιόν σου ἕως τῆς σήμερον **
*49 ἐκ ταύτης γὰρ τῆς ἡμέρας, σοῦ δέομαι*
*50 Δέσποινά μου ἁγία Θεοτόκε * κἂν πολλάκις*
*51 πταίω, οὐκ ἀρνοῦμαι * οὐδὲ εἰς ἀπό*
*52 γνωσιν τὸν νοῦν μου φέρω * ἀλλὰ θαρ*
*53 ρῶν*[139]*, ἀνεπαισχύντως ἐπιστρέφω*
*54 πρὸς τὴν σὴν εὐσπλαγχνίαν * καὶ τῇ σῇ*
*55 εὐμενῇ πρεσβείᾳ τυχεῖν ἀνέσεως*

---

[137] A: *ἐνγρηγόρσει.*
[138] A: *ἐξαγγέ/λλειν.*
[139] A: *θα/ρρῶν.*

*56 καὶ ἄφεσιν πάντων τῶν πραχθέν*
*57 των μου σφαλμάτων * χάριτι καὶ φι*
*58 λανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ * τοῦ*
*59* [**146r**] *Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ * ᾧ*[140] *πρέπει/*
*60 πᾶσα δόξα τιμὴ καὶ προσκύνησις * σὺν τῷ*
*61 ἀνάρχῳ αὐτοῦ Πατρί * καὶ τῷ ζωοποιῷ*
*62 αὐτοῦ Πνεύματι * νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν./*

## {ΚΑΘΙΣΜΑ 12}

{146r-154v}
*Ἀρχὴ τοῦ ιβ´*[141] *καθίσματος. Τρισάγιον. Παναγία Τριάς.*
*Πάτερ ἡμῶν. Τὸ Κύριε, ἐλέησον, ιβ´. Δεῦτε προσκυνήσωμεν τρίς.*
*Καὶ ἄρξου.*

{Ps 85} *πε´ Κλῖνον, Κύριε...*
{Ps 86} *πς´ Οἱ θεμέλιοι...*
{Ps 87} *πζ´ Κύριε, ὁ Θεός...*
{Ps 88} *πη´ Τὰ ἐλέη σου...*
{Ps 89} *πθ´ Κύριε, καταφυγή...*
{Ps 90} *ς´ Ὁ κατοικῶν ἐν...*

*Δόξα.*
*Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Τροπάρια· Ἦχος α´.*
*Ὁδήγησόν με...*
*Τῶν ποικίλων...*
*Δόξα.*
*Τὸ πέλαγος...*
*Καὶ νῦν.*
*Θεοτόκε παρθένε...*
*Κύριε, ἐλέησον, ιε´. Καὶ μετανοίας, ιε´. Καὶ τὰς εὐχάς.*

[140] A: *ὦ̃.*
[141] A: *ιβ´ου.*

1 {154v} **Κ**ύριε Ἰησοῦ Χριστὲ Υἱὲ τοῦ Θεοῦ τοῦ ζῶντος,
2 ἄφελε τὴν ὑψηλοφροσύνην
3 [**155r**] καὶ τὴν κενοδοξίαν * καὶ τὴν ὑ
4 περηφανίαν, καὶ τὴν βλασφη
5 μίαν ἀπ᾽ ἐμοῦ τοῦ τάλανος * ἐξά
6 λειψον τὸ χειρόγραφον τῶν πολλῶν
7 καὶ αἰσχρῶν μου πράξεων καὶ
8 οὕτω με ποίησον διανοεῖσθαι καὶ
9 ἔχειν ἑαυτόν, οἷος τῇ ἀληθείᾳ εἰμί *
10 Δέσποτα Χριστὲ ὁ Θεός μου * ὁ μόνος ἀ
11 κριβῶς, τῆς ἀθλίας μου ψυχῆς τὴν
12 νόσον, καὶ τὴν ταύτης θεραπείαν ἐπι
13 στάμενος, ἰάτρευσον αὐτὴν ἕνεκεν
14 τοῦ πλήθους τοῦ ἐλέους σου καὶ
15 τῶν οἰκτιρμῶν σου * ὅσον γὰρ ἐκ
16 τῶν ἔργων μου, οὐκ ἔστι μάλαγμα
17 ἐπιθῆναι * οὔτε ἔλαιον * οὔτε κατα
18 δέσμους * ἀλλὰ σὺ ὁ μὴ ἐλθὼν καλέ
19 σαι δικαίους ἀλλὰ ἁμαρτωλοὺς εἰς
20 μετάνοιαν * ἐλέησον * οἰκτείρησον *
21 συμπάθησον * καὶ ὁδήγησον εἰς τὴν
22 [**155v**] εὐθείαν ὁδόν σου * ἵνα πορευόμενος
23 ἐν τῇ ἀληθείᾳ σου, δυνήσομαι ἐκ
24 φυγεῖν τὰ βέλη τοῦ πονηροῦ *
25 καὶ οὕτω σταθῆναι ἀκατακρίτως
26 ἐνώπιον τοῦ φοβεροῦ βήματός
27 σου * δοξάζων καὶ ἀνυμνῶν τὸ πα
28 νάγιον[142] ὄνομά σου * τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ
29 καὶ τοῦ ἁγίου Πνεύματος * νῦν καὶ ἀεὶ καὶ εἰς.

---

[142] A: *παν-/άγιον.*

*/Εὐχὴ ἑτέρα/.*

*Ὁ Θεὸς ὁ Αἰώνιος * εἰς ὃν ἐπερρίφην ἐκ κοιλίας μητρός μου * ὃν ἠγάπησεν ἡ ψυχή μου ἐξ ὅλης μου τῆς καρδίας, ᾧ ἀνεθέμην τὴν σάρκα καὶ τὴν ψυχὴν ἀπὸ νεότητός μου μέχρι τοῦ νῦν, σύ μοι παρακατάστησον φωτεινὸν ἄγγελον, τὸν χειραγωγοῦντα με πρὸς σέ * τὸν παρέχοντα τὸν τόπον τῆς ἀνα παύσεως, εἰς ὃν ἀναπαύονται τῶν ἁγί ων πατέρων ἡμῶν αἱ ψυχαί * ὁ διακό ψας τὸ πῦρ τῆς φλογίνης ῥομφαίας* [**156r**] *καὶ ἀποδοὺς τὸν παράδεισον τοῖς ἀνθρώποις, καμοῦ*[143] *τοῦ ὑποπεσόντος, τοῖς οἰκτιρμοῖς σου, μνήσθητι ἐν τῇ βασιλείᾳ σου ὅτι καγὼ*[144] *συνεστρώ θην σοι * καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου * ἀπὸ γὰρ τῶν κρι μάτων σου ἐφοβήθην * καὶ νῦν Δέσποτα, σκεπασάτω με ἡ χείρ σου * καὶ ἔλθοι ἐπ' ἐμὲ τὸ ἔλεός σου, ὅτι, τετάρακται ἡ ψυχή μου, καὶ κατώ δινος ἐστὶν ἐν τῷ ἐκπορεύεσθαι αὐ τὴν ἐκ τοῦ σώματος τούτου * μήποτε ἡ πονηρὰ τοῦ ἀντικειμένου βουλὴ συναντήσῃ καὶ παρεμποδίσῃ αὐτῇ διὰ τὰς ἐν ἁγνοίᾳ καὶ γνώσει ἐν τῷ βίῳ τούτῳ γενομένας μοι ἁμαρτίας * ἵλεώς μοι γενοῦ Δέσποτα * καὶ μὴ ἰδέτω ἡ ψυχή μου τὴν ἐζοφωμένην ὄψιν τῶν πονηρῶν δαιμόνων * ἀλλὰ* [**156v**] *παραλαβέτωσαν αὐτὴν ἄγγελοί*

[143] A: *κα' μοῦ.*
[144] A: *κα' γώ.*

*33 σου φαιδροὶ καὶ φωτεινοί * δὸς δό*
*34 ξαν τῷ ὀνόματί σου Κύριε, καὶ τῇ σῇ*
*35 δυνάμει, ἐν τῷ κρίνεσθαί με τὸν ἁ*
*36 μαρτωλόν, μὴ καταλάβῃ με ἡ*
*37 χεὶρ τοῦ ἄρχοντος τοῦ κόσμου τούτου*
*38 εἰς τὸ κατασπάσαι μου τὴν ψυχὴν εἰς*
*39 βυθὸν ᾍδου * ἀλλὰ παράστηθι καί,*
*40 γενοῦ μοι Σωτὴρ καὶ ἀντιλήπτωρ * ἐ*
*41 λέησον Κύριε τὴν ῥυπωθεῖσαν τοῖς πά*
*42 θεσι τοῦ βίου τούτου ψυχήν μου * καὶ*
*43 εἴτι ὡς ἄνθρωπος κατὰ τὴν ἀσθένειαν*
*44 τῆς φύσεως * ἐν λόγῳ * ἢ ἔργῳ * ἢ κατὰ*
*45 διάνοιαν ἐπλημμέλησα, ὁ ἔχων ἐξου*
*46 σίαν ἀφιέναι ἁμαρτίας, συγχώ*
*47 ρησόν μοι * καὶ ἄνες μοι ἵνα ἀναψύ*
*48 ξω καὶ εὑρεθῶ ἐνώπιόν σου, μὴ*
*49 ἔχων σπῖλον ἢ ῥυτίδα * ἀλλὰ ἄμω*
*50* [**157r**] *μος καὶ ἀκηλίδωτος, προσδεχθείην*
*51 ἐν χερσί σου Δέσποτα * ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας.*

*1 /Εὐχὴ ἑτέρα εἰς τὴν Ὑπεραγίαν Θεοτόκον/.*
*2* ***Δ****έσποινα Πανύμνητε καὶ Πα*
*3 νάγαθε*[145] ** ἡ τοῦ ἐλέους πηγή * ἡ τῆς φι*
*4 λανθρωπίας ἄβυσσος * τὸ ὕδωρ τὸ ζῶν **
*5 ἡ τῶν ἁμαρτανόντων προστάτις*[146] ***
*6 καὶ τῶν χειμαζομένων λιμήν **
*7 ἡ τὸν Θεὸν ἀσπόρως ἐν γαστρὶ δεξαμένην*
*8 καὶ ἀξιωθεῖσα γενέσθαι Μήτηρ Θεοῦ **
*9 ἡ ἄμπελος ἡ ἀληθινή * ἡ μανναδό*
*10 χος στάμνος, ἡ τῶν πιπτόντων ἀ*
*11 νόρθωσις, ἡ πάντων καταφυγὴ*

---
[145] A: *Παν-/άγαθε.*
[146] A: *προστᾶτις.*

*καὶ παντὸς τοῦ κόσμου βοήθεια,*
*μὴ ἀπώσῃ με τὸν ἁμαρτωλόν **
*τὸν ἐν δεινοῖς ἀναλώσαντά μου τὴν*
*ζωήν * τὸν ἐναγῆ * τὸν φιλόπορ*
*νόν τε καὶ φιλοτάραχον * τὸν ἐν ἀ*
*μελῇ τῇ γνώμῃ καὶ πράξῃ καὶ*
*προαιρέσει, ἀσώτως μου τὸν βίον*
[**157v**] *δαπανήσαντα * ἀλλ' ὡς Θεοῦ Μήτηρ,*
*ὡς φιλάνθρωπος τε καὶ συμπαθής,*
*μὴ βδελύξῃ με τὸν ἁμαρτωλόν τε*
*καὶ ἄσωτον * ἀλλὰ προφθάνουσα,*
*τὴν ἐκ ῥυπαρῶν χειλέων μου φερο*
*μένην σοι, πρόσδεξαι δέησιν * ἵλε*
*όν μοι τὸν κριτὴν ἀπεργασαμένη*
*ταῖς εὐπροσδέκτοις καὶ παναγά*
*θοις δεήσεσι, σοῦ τῆς ἀληθοῦς*[147] *πανά*
*γνου καὶ θεομήτορος * ἄνοιξόν μοι*
*σπλάγχνα τοῦ φιλοικτίρμονος **
*παριδεῖν ἱκέτευσόν μου τὰ πταί*
*σματα*[148] ** ἴθυνόν μου τὸν λογισμὸν πρὸς*
*μετάνοιαν * καὶ τῶν αὐτοῦ ἐντολῶν*
*ἐργάτην δόκιμον ἀνάδειξόν με **
*καὶ μὴ ἐάσῃς με γένεσθαι βρῶμα*
*ἢ κτῆμα, τοῦ ψυχοφθόρου Σατανῶν **
*ἀλλ' ἐγκαίνισόν με τῇ μεσιτείᾳ σου,*
*τὸν πολλαῖς ἤδη παλαιωθέντα*
[**158r**] *τοῖς παραπτώμασι * καὶ τόνδε*
*τὸν ῥακώδη μου βίον κατεύθυνον **
*ἵνα σε μεσίτην*[149] *ἔχων τὴν ὑπεράγαθον,*
*ἀμέμπτως τῷ κριτῇ παραστήσομαι,*
*τὴν φοβερὰν ἐκφύγοιμι κόλασιν **

[147] A: *ἀληθούς.*
[148] A: *πταίσ/ματα.*
[149] A: *μεσίτιν.*

*καὶ τῆς αὐτοῦ δόξης, κληρονόμον ἀναδείξης τῇ μεσιτείᾳ σου ἧς καὶ τύχω πανάμωμε, τὸν ποιητήν μου καθικετεύουσα * ᾧ πρέπει πᾶσα δόξα τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας ἀμήν.*

## {ΚΑΘΙΣΜΑ 13}

{158r-167r}
*Ἀρχὴ τοῦ ιγ´*[150] *καθίσματος. Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν/*
*Κύριε, ἐλέησον, ιβ´. Δεῦτε προσκυνήσωμεν τρίς. Καὶ ἄρξου.*

{Ps 91} *ϛα´ Ἀγαθὸν τό...*
{Ps 92} *ϛβ´ Ὁ Κύριος ἐβασίλευσεν...*
{Ps 93} *ϛγ´ Ὁ Θεὸς ἐκδικήσεων...*
{Ps 94} *ϛδ´ Δεῦτε ἀγαλλιασώμεθα...*
{Ps 95} *ϛε´ Ἄσατε τῷ Κυρίῳ...*
{Ps 96} *ϛϛ´ Ὁ Κύριος ἐβασίλευσεν...*
{Ps 97} *ϛζ´ Ἄσατε τῷ Κυρίῳ...*
{Ps 98} *ϛη´ Ὁ Κύριος ἐβασίλευσεν...*
{Ps 99} *ϛθ´ Ἀλαλάξατε τῷ...*
{Ps 100} *ρ´ Ἔλεος καί...*

*Δόξα. Τρισάγιον. Πάτερ ἡμῶν. Τροπάρια· Ἦχος γ´.*
*Ἐρευνῶν μου...*
*Ὅτε τῷ βήματι...*
*Δόξα.*
*Ἐὰν ἀνομίας...*
*Καὶ νῦν. Θεοτοκίον.*
*Εἶδε πρεσβεία...*
*Τὸ Κύριε, ἐλέησον, ιε´. Καὶ μετανοίας, ιε´. Καὶ τὰς εὐχάς.*

---

[150] A: *ιγ´ου.*

1 {167r} **Δ**έσποτα Κύριε Ἰησοῦ Χριστὲ Υἱὲ τοῦ Θεοῦ *
2 σὺ εἶ βοηθός μου * ἐν ταῖς χερσί σου
3 εἰμί * σὺ γινώσκεις, τὸ συμφέρον μου *
4 βοήθησόν μοι * μὴ ἐάσῃς με ἁμαρ
5 τῆσαι εἰς σὲ ὅτι πεπλανημένος
6 εἰμί * μὴ ἐάσῃς με ἐξακολουθῆσαι
7 τῷ[151] θελήματί μου * μὴ ἐάσῃς με ἀ
8 πολέσθαι ἐν ταῖς ἁμαρτίαις μου
9 μὴ ὑπερίδῃς με ὅτι ἀσθενὴς εἰμί *
10 μὴ ἐγκαταλίπῃς ὅτι πρὸς σὲ
11 κατέφυγον * ἴασαι τὴν ψυχήν μου
12 ὅτι ἥμαρτόν σοι * ἐνώπιόν σου εἰσί,
13 πάντες οἱ θλίβοντές με * καὶ οὐκ[152]
14 ἔστι μοι καταφυγή, εἰμὴ πρὸς σὲ Κύριε *
15 Κύριε σῶσόν με ἕνεκεν τῶν οἰκτιρμῶν σου *
16 αἰσχυνθήτωσαν πάντες οἱ ἐπα
17 νιστάμενοι ἐπ' ἐμὲ * οἱ ζητοῦντες
18 [**167v**] τὴν ψυχήν μου τοῦ ἐξολοθρεῦσαι αὐ
19 τήν * ὅτι δυνατὸς εἶ Κύριε ἐν πᾶσιν *
20 καὶ νῦν Κύριε ὁ Θεός μου, κλῖνον τὴν καρ
21 δίαν μου εἰς τὴν ὑπακοὴν τῶν θεί
22 ων σου προσταγμάτων * καὶ ἀπό
23 στρεψον τοὺς ὀφθαλμοὺς τῆς διανοί
24 ας μου, τοῦ μὴ προσκεῖσθαι τῇ κο
25 σμικῇ[153] ματαιότητι * ἀλλ' ἐνατενί
26 ζειν[154] τῷ κάλλει τῆς δόξης σου διὰ
27 παντὸς[155] καταξίωσον * ὅτι σὺ εἶ Θεός *
28 Θεὸς τοῦ ἐλεεῖν καὶ σῴζειν ἡμᾶς *
29 καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν *
30 σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ ζωο
31 ποιῷ σου Πνεύματι * νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

---

[151] A: τό.
[152] A: οὐ/κ.
[153] A: κοσ/μικῇ.
[154] A: ἐν ἀτενί/ζειν.
[155] δια/παντός.

*/Εὐχὴ ἑτέρα/.*
***Δ**έσποτα Κύριε Ἰησοῦ Χριστὲ * τὸ ἄναρχον*
*καὶ ἀΐδιον φῶς * ὁ τὰ πάντα*
*ἐκ τοῦ μὴ ὄντος τὸ πρῶτον, εἰς*
*τὸ εἶναι παραγαγὼν τῇ κελεύσει*
*καὶ προστάξει τῆς δυνάμεώς σου **
[**168r**] *ὁ καὶ βροτὸς τὸ δεύτερον, δι᾽ ἐμὲ*
*γενέσθαι καταδεξάμενος, ἵνα ἐκ τῶν*
*ἀλύτων τοῦ ᾏδου δεσμῶν τὸ σὸν*
*πλάσμα αὖθις ἀνακαλέσῃς πρὸς*
*ἑαυτόν, ὁ διὰ τοῦ σοῦ Βαπτιστοῦ πᾶσι*
*κηρύξας τὴν μετάνοιαν, ἔπιδε*
*καὶ νῦν ἐπ᾽ ἐμοὶ τῷ ἁμαρτωλῷ **
*τῷ ἀμελῇ τὲ καὶ ῥαθύμῳ καὶ ῥυ*
*παρῷ * προβαλλομένῳ σοι μεσίτην,*
*τὸν κήρυκα τῆς μετανοίας, τὸν τοῖς*
*ἁμαρτωλοῖς πᾶσι, κηρύξαντα*
*τὴν ἀνάκλησιν * τὸν ἐν προφήταις*
*μέγιστον, καὶ τῆς σῆς παναχράντου*
*σαρκώσεως βαπτιστήν * καὶ νῦν κα*
*θικετεύων προσπίπτω σοι,*
*ἄνες μοι τὸν πολλά σοι παροργίσαντα*
*ἄνες μοι * ἄνες Κύριε, τὸν εἰς βυθὸν ἀ*
*πογνώσεως ἐμπεσόντα, καὶ τοῖς πο*
*νηροῖς κύμασι τοῦ βίου κλυδωνιζόμενον **
[**168v**] *ὄρεξόν μοι χεῖρα τὴν κραταιὰν Λόγε,*
*καὶ πρὸς φῶς ὁδήγησόν με τὸ νοητόν **
*ἐνίσχυσόν με τῇ δυνάμει σου τῇ φρικτῇ **
*ἵνα καὶ τὰς τοῦ μονήρους βίου ἀμέμ*
*πτως τελεῖν σοι ἐντολάς * καὶ τῷ*
*φοβερῷ καὶ ἀδεκάστῳ σου ἀκατα*
*κρίτως παρασταθήσομαι βήματι,*
*ὅτε μέλλεις ἑκάστῳ ἀποδοῦναι κα*
*τὰ τὰ ἔργα αὐτοῦ * εἰ γὰρ τὸν ἄξιον*

*35 σώσεις, οὐδὲν θαυμαστόν * εἰς ἐμὲ*
*36 Δέσποτα θαυμάστωσον τὰ ἐλέη σου,*
*37 τὸν ἐν κατανύξει καρδίας σὲ ἐπι*
*38 καλούμενον * εἰ μὴ γὰρ ἡ χάρις σου*
*39 ἐβοήθει μοι, παίγνιον εἶχον γενέσθαι*
*40 τοῦ πονηροῦ * ἐπίσκεψαι καὶ νῦν*
*41 τὴν ἀσθενοῦσαν μου ψυχήν * σὺ*
*42 γὰρ εἶ ὁ εἰπών, οὐκ ἦλθον καλέσαι δι*
*43 καίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν **
*44 πρεσβείαις τῆς ἀχράντου σου Μητρός **
*45* [**169r**] *τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου*
*46 καὶ Βαπτιστοῦ Ἰωάννου, καὶ πάντων τῶν*
*47 ἁγίων σου * ὅτι σὲ ὑμνεῖ πᾶσα ἡ δύ*
*49 ναμις τῶν οὐρανῶν, καὶ σοῦ ἐστιν ἡ*
*50 δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.*

*1 /Εὐχὴ ἑτέρα/.*
*2* ***Π****αναγία*[156] *Δέσποινά μου Θεοτόκε, ἀπο*
*3 δίωξον τοὺς πονηροὺς καὶ αἰσχροὺς*
*4 λογισμούς, ἀπὸ τῆς ἀθλίας μου ψυχῆς*
*5 καὶ ταλαιπώρου καρδίας * καὶ κατά*
*6 σβεσόν μου τὴν φλόγα τῶν παθῶν **
*7 καὶ ἐλέησόν με ὅτι ἀσθενὴς καὶ τα*
*8 λαίπωρος εἰμί * καὶ λύτρωσαί με*
*9 ἐκ τῶν πονηρῶν μου πράξεων, καὶ*
*10 κακῶν μου ἐνθυμήσεων * εἰς σὲ γὰρ*
*11 ἀνεθέμην τὴν ἅπασαν ἐλπίδα,*
*12 τῆς σωτηρίας μου * ὅτι εὐλογημένη ὑπάρ*
*13 χεις εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.*

[156] Α. Δ. Σιμωνώφ, *Μέγα Προσευχητάριον* (Ἀθήνα: ἐκδ. Πελεκάνος) 548.

## {ΚΑΘΙΣΜΑ 14}

{169r-178r}
*Ἀρχὴ τοῦ ιδ´*[157] *καθίσματος. Τρισάγιον. Παναγία Τριάς.*
*Πάτερ ἡμῶν. Τὸ Κύριε, ἐλέησον, ιβ´. Δεῦτε προσκυνήσωμεν τρίς.*
*Καὶ ἄρξου./*

{Ps. 101} *ρα´ Κύριε, εἰσάκουσον...*
{Ps 102} *ρβ´ Εὐλόγει, ἡ ψυχή μου...*
{Ps 103} *ργ´ Εὐλόγει, ἡ ψυχή μου...*
{Ps 104} *ρδ´ Ἐξομολογεῖσθε τῷ...*

*Δόξα.*
*Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Τροπάρια· Ἦχος πλ. α´./*
*Ἐν ἀγνοίᾳ...*
*Σῶσόν με...*
*Δόξα.*
*Ἐγὼ εἰμί...*
*Καὶ νῦν. Θεοτοκίον.*
*Ἐν κλίνῃ κατακείμενος...*
*Τὸ Κύριε, ἐλέησον, ιε´. Μετανοίας, ιε´. Καὶ τὰς εὐχάς.*

*1* {178r} ***Ὁ*** *Θεὸς ὁ Αἰώνιος καὶ βασιλεὺς πά*
*2 σης κτίσεως, ὁ καταξιώσας με ἐν*
*3 τῇ ὥρᾳ ταύτῃ ἐλθεῖν εἰς τὴν στάσιν*
*4 τῆς νυκτός, συγχώρησόν μοι τὰς ἁμαρ-*
*5 τίας μου, ἃς διήμαρτον δι’ ὅλης τῆς*
*6 ἡμέρας * ἢ λόγῳ * ἢ ἔργῳ * ἢ κατὰ διά*
*7 νοιαν * καὶ καθάρισον Κύριε τὴν ταπεινήν*
*8 μου ψυχὴν ἀπὸ παντὸς μολυσμοῦ * δὸς*
*9 δέ μοι Κύριε καὶ τῆς νυκτὸς τὸν ὕπνον δι*
*10 ελθεῖν ἐν εἰρήνῃ * ἵνα ἐξαναστὰς τῆς*
*11 ταπεινῆς μου κοίτης, εὐαρεστήσω*

[157] A: *ιδ´ου.*

*τῷ παναγίῳ ὀνόματί σου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου * καταπατήσας καὶ τοὺς πολεμοῦντας με ἐχθρούς * ἐν σάρκους τε καὶ ἀσάρκους * καὶ λύ* [**178v**] *τρωσαί με ἀπὸ λογισμῶν ματαίων καὶ ἐνθυμήσεων πονηρῶν * ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα * τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος * νῦν καὶ ἀεί.*

*/Εὐχὴ ἑτέρα τοῦ Ὁσίου Ἰακώβου/.*

***Π**ῶς ἀτενίσω πρὸς σὲ Κύριε ὁ Θεός μου * ποίοις δὲ λόγοις δικαιωθῶ ἐνώπιόν σου * ποίαν δὲ ἀπαρχὴν τῆς ἐξομολογήσεως εὕροιμι * ποίαν δὲ πρώτην ἄφεσιν ἁμαρτίας αἰτῆσαι τολμήσω * φεῖσαί μου Κύριε φιλάνθρωπε * φεῖσαί μου μόνε εὔσπλαγχνε καὶ ἀγαθέ * φεῖσαί μου μόνε εὐσυμπάθητε * καὶ μὴ συναπολέσης με ταῖς ἀνομίαις μου * οὐ γὰρ μικρά μου τὰ δυσεβήματα * πᾶν γὰρ εἶδος κακίας καὶ ἁμαρτίας διεπραξάμην * καὶ νῦν Κύριε εἰ δότη σοι, ἐξομολογοῦμαι * ἐπὶ τούτοις πᾶσιν, παρὰ σου αἰτούμενος ἄφεσιν * μὴ παρίδης με* [**179r**] *Δέσποτα * ἀλλὰ κατὰ τὴν προσοῦσαν σοι φιλανθρωπίαν, οἰκτείρησόν με τὸν ἀσεβῆ καὶ ἀνάξιον * ὅπως μὴ ἐλθὼν εἰς τὰ τῆς ἁμαρτίας μου βάθη, καταποντήσει με παντελῶς ὁ βύθιος δράκων * ναὶ Κύριε ὁ Θεός μου * ὁ πλούσιος ἐν ἐλέει * καὶ ἀγαθὸς ἐν οἰκτιρμοῖς * καὶ δυνατὸς ἐν ἔργοις, ἀντιλαβοῦ τῆς ἀσθενείας μου **

*καὶ σύντριψον τοὺς πολεμοῦντας με*
*ἐχθροὺς ἐν τάχει * δώρησαί μοι ἰσχὺν*
*καὶ δύναμιν * καὶ φυλακὴν * καὶ γνῶσιν **
*καὶ σύνεσιν πνευματικήν * καὶ ταπείνωσιν ἀ*
*ληθινήν, καὶ φωτισμὸν ψυχῆς καὶ σώ*
*ματος * ὑπομονὴν καὶ ἔφεσιν παντὸς*
*ἀγαθοῦ * φρούρησον τὴν καρδίαν μου τῷ*
*φόβῳ σου * καὶ ἐν τῷ φωτὶ τῶν σῶν*
*ἐντολῶν, ὁδήγησόν με * ναὶ Κύριέ μου Ἰησοῦ Χριστέ **
*ὅτι ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι με παρήγαγες **
*ὅτι τὴν μεγάλην ταύτην κτίσιν, ὑπη*
[**179v**] *ρετεῖν τῇ ἐμῇ ζωῇ*[158] *προσέταξας * ὅτι*
*οὐδὲ ἔλιπες εὐεργετῶν με, ἐξότου*
*με ἐδημιούργησας * ὅτι ἐφώτισάς*
*με καὶ ἐδίδαξας ἐκ τῶν λόγων τοῦ*
*Πνεύματός σου τὴν ὁδὸν τῆς σωτηρίας * ὅτι πολλὰ*
*καὶ ἀναρίθμητα ἁμαρτήσαντα,*
*οὐκ εὐθέως ἐκόλασας, ἀλλ' ἐμακρο*
*θύμησας μέχρι τῆς σήμερον, ἀναμέ*
*νων τὴν ἐμὴν μετάνοιαν * καὶ νῦν*
*Κύριε τῶν δυνάμεων, ἐλέησόν με*
*τὸν ἐλεεινὸν καὶ ἁμαρτωλόν * καὶ*
*κατάνυξόν μου τὴν λιθώδη καὶ σκλη*
*ρὰν καρδίαν * περιελών μου τὴν ἀ*
*ναισθησίαν, τῇ παρουσίᾳ τοῦ φόβου σου **
*χάρισαί μοι πηγὴν δακρύων ἀένναον **
*ὁ τῆς πόρνης μὴ παριδὼν τὰ δάκρυα,*
*δέξαι μου τὴν ἐξομολόγησιν * ὁ τὸν τε*
*λώνην δικαιώσας ἐξομολογούμενον,*
*ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ*
[**180r**] *τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς*
*ἀνομίας μου ἐξάλειψον * ἁμαρτω*

[158] A: *ἐμὴ ζωή*.

56 *λὸς εἰμὶ Κύριε ὁμολογῶ καὶ οὐκ αρνοῦμαι **
57 *εἰ καὶ ἐγὼ σιωπήσω*[159]*, τὰ ἔργα μου*
58 *κεκράξονται * ἥμαρτον εἰς τὸν οὐρανὸν*
59 *καὶ ἐνώπιόν σου * καὶ τὸ πονηρὸν*
60 *ἐνώπιόν σου ἐποίησα * τὸ σῶμα*[160] *μου*
61 *ἔφθειρα * τὴν ψυχήν μου ἐμίανα * τὸν*
62 *φωτοειδῆ χιτῶνα ἐσπίλωσα * τὸ*
63 *πνεῦμα τῆς υἱοθεσίας ἐν ᾧ ἐσφραγίσθην*
64 *εἰς ἡμέραν ἀπολυτρώσεως, ἐλύπησα **
65 *χριστιανὸς ὀνομαζόμενος, ἀναξίως*
66 *τῆς κλήσεως καὶ τοῦ εὐαγγελίου καὶ*
67 *τῶν ἁγίων σου μαθητῶν ἐπολιτευ*
68 *σάμην * διὸ καὶ ἀπόκειταί μοι δικαίαν,*
69 *τὸ πῦρ τῆς κολάσεως διὰ τὰ ἔργα μου **
70 *ἀλλὰ δέομαι τοῦ ἐλέους σου, μὴ ἀπορ-*
71 *ρίψῃς*[161] *με ἀπὸ τοῦ προσώπου σου **
